

# ΙΕΡΑΙ ΑΚΟΛΟΥΘΙΑΙ

ΤΟΥ

ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΕΡΑΣΙΜΟΥ

ΤΟΥ ΕΝ ΚΕΦΑΛΛΗΝΙΑι

ΜΕΡΙΜΝΗι ΚΑΙ ΕΠΙΜΕΛΕΙΑι
ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΕΦΑΛΛΗΝΙΑΣ
Κ. ΓΕΡΜΑΝΟΥ

ΔΑΠΑΝΑΙΣ ΚΑΙ ΕΠ' ΩΦΕΛΕΙΑι ΙΕΡΑΣ ΜΟΝΗΣ
ΑΓ. ΓΕΡΑΣΙΜΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ 1939
ΤΥΠ. ΣΥΝΟΔΙΝΟΥ - ΚΑΒΑΛΛΙΕΡΑΤΟΥ
ΛΕΚΚΑ 7

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Πᾶν γνήσιον ἀντίτυπον φέρει τὴν σφραγῖδα τῆς Ἱερᾶς Μητροπόλεως Κεφαλληνίας καὶ τὴν τῆς Ἱερᾶς Μονῆς Ἁγίου Γερασίμου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



*Μεσημβρινὴ ἄποψις τοῦ Μεγάλου Ναοῦ καὶ τῶν Ξενώνων τοῦ Ἱ. Ναοῦ Ἁγ. Γερασίμου.*

# ΠΡΟΛΟΓΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὁ Θεῖος τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας Ἱδρυτὴς καὶ Σωτὴρ τοῦ κόσμου, ῥητὴν καὶ σαφῆ διὰ τοῦ ἀψευδοῦς στόματος Αὐτοῦ ἔδωκε διαβεβαίωσιν πρὸς τοὺς πιστεύσαντας εἰς Αὐτὸν εἰπών: «Πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει» (Ματθ. ΙΘ΄ 29).

Τὴν διαβεβαίωσιν ταύτην καλῶς γνωρίζων ὁ Ὅσιος καὶ Θεοφόρος Πατὴρ ἡμῶν Γεράσιμος, ὁ νέος ἀσκητὴς καὶ ἀθλητὴς ἐν τῷ σταδίῳ τῆς ἀρετῆς, ἀφῆκεν ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας πάντα, πατέρα καὶ μητέρα, ἀδελφούς, ἀδελφὰς καὶ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν. Ὡς φιλόπονος δὲ καὶ ταχυπέτης μέλισσα περιῆλθεν ἅπαντας τοὺς εὐανθεῖς πνευματικοὺς ἀνθῶνας τοῦ Ἁγιωνύμου Ὄρους, τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ καὶ τῆς Ἁγίας Γῆς ἐν γένει, τοῦ Θεοβαδίστου Ὄρους Σινὰ καὶ τῶν ἄλλων τῆς εὐσεβείας λειμώνων καὶ συναθροίσας ἐκεῖθεν τὸ τῆς εὐσεβείας καὶ ἀρετῆς ἥδύτατον μέλι ἐναπέθηκε τοῦτο εἰς τὴν πνευματικὴν κυψέλην τῆς «Νέας Ἱερουσαλὴμ» ἐν τῇ Ἱερᾷ Μονῇ τῶν Ὁμαλῶν Κεφαλληνίας.

Πολλὰς δὲ ἐκεῖ χιλιάδας ψυχῶν διαθρέψας διὰ τοῦ μέλιτος τῆς Θείας αὐτοῦ διδασκαλίας καὶ τοῦ παραδείγματος τοῦ ὁσιωτάτου αὐτοῦ βίου, ἀπῆλθε πρὸς τὸν μισθαποδότην Κύριον, ὃς καὶ πολλαπλασίως ἀμείβων αὐτὸν δόξης ἰδιαζούσης καὶ ἀφθαρσίας ἠξίωσε τὸ ἅγιον αὐτοῦ σκῆνος.

Ἔκτοτε τὸ ἱερὸν αὐτοῦ λείψανον, ὡς πολύτιμος καὶ

ἀνεξάντλητος πνευματικὸς θησαυρὸς φυλασσόμενος ἐν τῇ Ἱερᾷ Αὐτοῦ Μονῇ, διακηρύσσει ἀσιγήτως διὰ τῆς σιωπηλῆς αὐτοῦ ἀφθαρσίας τὴν ἄπειρον τοῦ θαυμαστοῦ ἐν τοῖς Ἁγίοις αὐτοῦ Θεοῦ χάριν, βρύει ἰάματα ψυχῆς καὶ σώματος διὰ τῶν συνεχῶν αὐτοῦ θαυμάτων καὶ ἐπιβεβαιοῖ τὴν πραγματοποίησιν τῆς τοῦ Κυρίου ὑποσχέσεως, ὅτι ὁ ἀφήσας πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς ἕνεκεν τοῦ ὀνόματος Αὐτοῦ ἑκατονταπλασίονα καὶ μυριοπλασίονα ἀπολαμβάνει καὶ δόξης αἰωνίου ἀξιοῦται.

Σήμερον ὄντως εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἡ φήμη καὶ ἡ δόξα τοῦ Θεοφόρου ἡμῶν Πατρὸς Γερασίμου. Οἱ ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης οἱ ἀνὰ τὴν ὑδρόγειον πᾶσαν διαβιοῦντες εὐσεβεῖς χριστιανοὶ τιμῶσι, γεραίρουσι τὸν Ἅγιόν μας καὶ ἐκζητοῦσι τὴν χάριν καὶ τὰς πρὸς Κύριον μεσιτείας Αὐτοῦ.

Οἱ εὐσεβέστατοι ἡμῶν Βασιλεῖς Γεώργιος ὁ Α΄ μετὰ τῆς Βασιλίσσης Ὄλγας (ἐν ἔτει 1893) καὶ βραδύτερον (τῇ 24ῃ Μαΐου 1936) Γεώργιος ὁ Β΄ μετὰ τοῦ ἐξ οἰκογενειακῶν παραδόσεων ἅμα καὶ πεποιθήσεως εὐσεβοῦς Πρωθυπουργοῦ αὐτοῦ καὶ μεγάλου τῆς Κεφαλληνίας τέκνου Κυρίου Ἰωάννου Μεταξᾶ, καθῆκον ἀπαραίτητον ἐθεώρησαν κατὰ τὴν ἐπίσημον ἐν Κεφαλληνίᾳ ἄφιξιν αὐτῶν νὰ προσέλθωσιν εὐλαβεῖς προσκυνηταὶ τοῦ Ἱεροῦ Λειψάνου τοῦ Ἁγίου μας.

Ὁ μακαρίᾳ τῇ λήξει γενόμενος Ἀρχιεπίσκοπος Ἀθηνῶν Χρυσόστομος, μετὰ ἐπανειλημμένως ἐκφρασθεῖσαν πρὸς Ἡμᾶς ἐπιθυμίαν Αὐτοῦ, προσῆλθεν εὐλαβὴς προσκυνητὴς (23 Αὐγούστου 1937) τοῦ Θεοφόρου Πατρός, πραγματοποιήσας μίαν ἐκ τῶν πρώτων καὶ ἐλαχίστων ἀποδημιῶν αὐτοῦ ἐκτὸς τῆς Ἀρχιεπισκοπῆς αὐτοῦ.

Μυριάδες δὲ εὐλαβῶν προσκυνητῶν κατ' ἔτος συρρέουσιν εἰς τὴν πνευματικὴν πηγὴν τοῦ Ἁγίου καὶ τὴν Χάριν τοῦ Ἱεροῦ Λειψάνου λαμβάνοντες, νάματα ζωῆς αἰωνίου



ἀντλοῦσι καὶ ἰάματα ποικίλων νοσημάτων ἀποκομίζουσιν.

Ἕτεροι πάλιν ἀπὸ τῶν περάτων τῆς Οἰκουμένης δι' ἐπιστολῶν καὶ γραμμάτων ἀπευθύνονται, τὴν χάριν αὐτοῦ ἐπικαλούμενοι καὶ τὰ δῶρα τῆς εὐγνωμοσύνης, διὰ τὰς ποικίλας Αὐτοῦ εὐεργεσίας καὶ ἰάσεις, προθύμως καὶ πλουσίως προσφέροντες.

Καὶ εἶναι διὰ τοῦτο εὐνόητον ὅτι ἡ ὁσημέραι ἐξαπλουμένη δόξα καὶ τιμὴ τοῦ Ἁγίου Γερασίμου ἔσχεν ὡς ἀποτέλεσμα καὶ τὴν παντελῆ ἐξάντλησιν τοῦ πρὸ μικροῦ κατὰ χιλιάδας ἐκδοθέντος βιβλίου τῶν Ἱερῶν Ἀκολουθιῶν αὐτοῦ.

Ὅθεν πρὸς ἀναπλήρωσιν τῆς παρουσιασθείσης ἐλλείψεως τοῦ βιβλίου τῶν Ἀκολουθιῶν, προβαίνομεν εἰς τὴν δαπάναις τῆς Ἱ. Μονῆς τοῦ Ἁγίου μας καὶ ἐπ' ὠφελείᾳ αὐτῆς ἀνατύπωσιν τοῦ βιβλίου τούτου ἐπὶ τῇ βάσει τῶν προγενεστέρων ἐκδόσεων, μετὰ μείζονος ὅμως ἐπιμελείας καὶ καταλλήλου διαρρυθμίσεως.

Ἐπικαλούμενοι δὲ τὰς εὐλογίας τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου ἐπὶ πάντας τοὺς ἁπανταχοῦ εὐλαβεῖς χριστιανοὺς καὶ φιλογερασίμους, εὐχόμεθα ὅπως Κύριος ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ Ἁγίου Γερασίμου χαρίζηται πᾶσι ψυχικήν τε καὶ σωματικὴν ὠφέλειαν καὶ θεραπείαν καὶ πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα.

*Ἐν Ἀργοστολίῳ 14 Ἰουνίου 1939.*

Εὐχέτης θερμὸς

† Ὁ Μητροπολίτης Κεφαλληνίας

ΓΕΡΜΑΝΟΣ

ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ

## ΠΡΩΗΝ ΜΑΪΝΗΣ

## ΚΥΡΙΟΥ ΙΕΡΕΜΙΟΥ

**Ὡς ἐκπροσώπου τῆς περιφήμου Νήσου Κεφαλληνίας ἀναφερομένη πρὸς τὸν Παναγιώτατον Οἰκουμενικὸν Πατριάρχην Κύριον Κύριον ΚΥΡΙΛΛΟΝ**

---

«Ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί» ἡ προφητικὴ ἔλεγε φωνή· ἀλλ' ἡμῖν οὐ μόνον εὐφροσύνην πνευματικὴν προξενεῖ ἐγκωμιαζόμενος ὁ Ὅσιος Πατὴρ ἡμῶν ΓΕΡΑΣΙΜΟΣ, ἀλλὰ καὶ εἰς ψυχικὴν σωτηρίαν ἀμύθητον προτροπήν· μᾶλλον δὲ ἀνακουφίζει τὸ βάρος τῆς συνειδήσεως ἡμῶν καθὸ ἕκαστος τῶν εὐσεβῶν χριστιανῶν ὀφείλει τιμᾶν καὶ ἐπαινεῖν τοὺς εὐσεβῶς καὶ θεαρέστως ζήσαντας· ὁ γὰρ ἔπαινος μισθός ἐστι τῆς ἀρετῆς κατὰ τὸν εἰπόντα, καὶ ὁ ἐπαινῶν τὴν ἀρετὴν αὐτὸν ἐπαινεῖ τὸν Θεόν, παρ' οὗ τοῖς ἀνθρώποις ἡ ἀρετή. Διὰ τοῦτο καὶ πρότερον ἀνεφέραμεν ἐκ μέρους τὰς ἀρετὰς καὶ τὰ κατορθώματα τοῦ αὐτοῦ Πατρὸς εἰς τὸν Πατριαρχικὸν Θρόνον, καὶ νῦν συμμίκτῳ προθυμίᾳ καὶ ἐλπίδι ἔγνωμεν ἀναφέρειν ταῦτα πρὸς τὴν Σὴν Σεβασμιωτάτην Σύνεσιν, δεόμενοι ἱκετικῶς ἀξιῶσαι ἐκδοθῆναι Συνοδικῶς τιμᾶσθαι κανονικῶς, καὶ ἐν τῷ ἀριθμῷ τῶν Ὁσίων καὶ Ἁγίων Ἀνδρῶν καταλεχθῆναι τὸν ἡμέτερον τοῦτον Πατέρα.

## ΒΙΟΣ ΚΑΙ ΚΑΤΟΡΘΩΜΑΤΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΕΡΑΣΙΜΟΥ*

Ἦν ὁ Ὅσιος Πατὴρ Γεράσιμος ἐκ τῆς Πελοποννήσου ὁρμώμενος, ἐκ χώρας λεγομένης Τρίκκης ἢ Τρίκκαλα, κατὰ τὴν κοινὴν συνήθειαν. Ἔτυχε γονέων οὐχ ἧττον τὴν εὐσέβειαν

---

* Ἡ βιογραφία αὐτὴ ὑπεβλήθη ὁμοῦ μετὰ τῆς προηγουμένης ἐπιστολῆς πρὸς τὸν Πατριάρχην Κύριλλον.



εὐγενῶν ἢ τὸ γένος, καὶ πλουσίων ἀρκούντως. Ἀφ' οὗ ἦλθεν εἰς ἡλικίαν, περιῆλθε καὶ Ἑλλάδα καὶ Θετταλίαν καὶ Θράκην, ζητῶν πανταχοῦ τὴν ψυχικὴν τελειότητα. Διέτριψεν ἱκανὸν καιρὸν μονάσας ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθω, ἐν ᾧ τοῖς τῆς ἀρετῆς καλλίστοις ἄνθεσιν, ἅττα παρὰ τοῖς ἐκεῖσε ἀσκουμένοις Μοναχοῖς ἔγνω, ἑαυτὸν καθωράϊσε. Μετὰ δὲ ταῦτα εἰς τοὺς σεβασμίους τόπους τῆς Ἱερουσαλὴμ μετέβη χάριν προσκυνήσεως, ὅπου διαμείνας ἱκανὸν καιρὸν εἰς τὸν τῆς Ἱερωσύνης βαθμὸν κανονικῶς ἀνεβιβάσθη παρὰ τοῦ Μακαριωτάτου Πατριάρχου Γερμανοῦ, παρ' οὗ καὶ συγχώρησιν λαβών, μετέβη εἰς τὰ περίχωρα τοῦ Ἰορδάνου, ὅπου καὶ τεσσαρακονθήμερον νῆστις διετέλεσε κατὰ μίμησιν τοῦ Δεσπότου, καὶ πολλοὺς περιελθὼν τόπους καὶ νήσους τελευταῖον καὶ τὴν ἡμετέραν Νῆσον κατέλαβεν, ἔνθα πολλοὺς διετέλεσε χρόνους, τοὺς πιστοὺς παραινῶν καθ' ἑκάστην εἰς τὸ κατὰ Χριστὸν καὶ θεαρέστως ζῆν. Εἰς γηραλέαν δὲ ἤδη ἐληλακὼς ἡλικίαν, καθ' ἑαυτὸν μονάσαι ἠθέλησε. Διὸ εὑρών τινα Ναὸν πεπαλαιωμένον ἔν τινι τόπῳ Ὁμαλᾶ καλουμένῳ ἀνήγειρε τοῦτον καὶ ἐκ βάθρων ἀνεκαίνισε, καὶ εἰς διαγωγὴν ἰδίαν ἀνῳκοδόμησεν. Ἀλλ' οἱ ἐν ταύτῃ τῇ Νήσῳ προέχοντες τὴν τοῦ Ἀνδρὸς ἀρετὴν ἐπιγνόντες, ἠνάγκασαν αὐτὸν ἀποδεχθῆναι τὰς ἐκείνων θυγατέρας, ὅσαι δηλαδὴ τὴν μοναχικὴν πολιτείαν ἠσπάζοντο καὶ θεαρέστως βιοῦν προείλοντο. Ἐδέχθη δὲ τὸ τοιοῦτο βάρος διὰ ψυχικὴν ὠφέλειαν ὁ Πατὴρ καὶ συνήχθησαν τὸ πρῶτον τινές, ἃς καὶ διετέλεσε διδάσκων τὴν μοναδικὴν καὶ ἀγγελικὴν πολιτείαν χρόνους οὐκ ὀλίγους. Οὗτος ὁ Ἅγιος Πατὴρ διέτριψε χρόνους τριάκοντα καὶ ἐν τῇ οἰκοδομηθείσῃ παρ' αὐτοῦ Μονῇ καὶ ἐν ἄλλῳ τόπῳ ἄρτου τὸ σύνολον μὴ γευσάμενος, ἀλλὰ διέζη ὀσπρίοις μόνον, ὀλίγῳ ὕδατι βεβρεγμένοις, καὶ συνεχῶς δακρύοις καὶ προσευχαῖς καὶ ἀγρυπνίαις ἑαυτὸν καθήγνιζε. Καί ποτε τῆς Νήσου ὑπ' ἀνομβρίας πασχούσης, διὰ προσευχῆς ὑετὸν καταγαγών, ἐθεράπευσεν. Οὐ μὴν δ' ἀλλὰ καὶ πολλοὺς ἀσθενεῖς καὶ δαιμονιῶντας ἰάσατο, ὧν τὰ πάθη καὶ τὰ ὀνόματα μακρὸν ἂν εἴη λέγειν. Πιστεύεται βεβαίως παρὰ πᾶσι τοῖς ἐνταῦθα χριστιανοῖς διαφυλαχθῆναι τὴν Νῆσον ταύτην ἀναιχμαλώτιστον, ἐν τῷ καιρῷ τῆς τῶν Ἀγαρηνῶν μάχης, διὰ προσευχῆς τοῦ αὐτοῦ Πατρός. Τῶν δὲ μετὰ τὸν θάνατον αὐτοῦ θαυμάτων, εἰ ἔστι τις ἐκ ταύτης τῆς Νήσου, ἢ καὶ τῶν

ἐκείνου συγγενῶν, ὃς μὴ μετέλαβεν ἐκ τούτων, γέγονεν ὅμως θεατὴς πολλῶν. Γυνή τις δαιμονιζομένη ἤχθη εἰς τὴν τοῦ Ἁγίου Μονὴν θεραπείας χάριν, ἥτις, εὐκαιρίας λαχοῦσα καὶ ὑπὸ σατανικῆς ἐνεργείας κινουμένη, κατέπεσεν εἰς φρέαρ βαθύτατον· ἀλλ' ἐπιφανέντος τοῦ Ἁγίου, οὐ μόνον διεσώθη τοῦ πνιγμοῦ, ἀλλὰ καὶ τοῦ ἐνοχλοῦντος αὐτὴν δαίμονος ἠλευθερώθη. Ἐκοιμήθη δὲ οὗτος ὁ Ὅσιος ἐν ἔτει τῆς ἐνσάρκου οἰκονομίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ 1579, Αὐγούστου 15. Ἐπειδὴ δὲ ἦν ἀδύνατον κρύπτεσθαι τὴν τοῦ Ἁγίου ἀρετήν, διὰ τοῦτο μετὰ τὸν αὐτοῦ θάνατον ἠβουλήθησαν ποιῆσαι ἀνακομιδὴν τοῦ Λειψάνου, ἥτις καὶ γέγονε παρὰ τοῦ Ἐξάρχου τοῦ τότε τὸν θρονον τῆς βασιλευούσης πόλεως Κυρίου Ἱερεμίου, κανονικῶς καὶ νομίμως κατέχοντος, ἐν ἔτει 1581. Ἀλλ' ἐπειδὴ πολλοὶ τῶν ἐναντίων πρὸς κατηγορίαν τῆς Ἐκκλησίας ἡμῶν κινούμενοι ἐλάλουν ἀσέβειαν, ἠναγκάσθημεν, προσταγῇ τοῦ Μακαρίτου Φιλαδελφείας Κυρίου Γαβριήλ, αὖθις ἐνταφιάσαι, ὃ καὶ γέγονεν. Ἐάσαντες δὲ τὸ ἱερὸν ἐκεῖνο Λείψανον ἐν τῇ γῇ μέχρι τῆς τοῦ Φιλαδελφείας διορίας καὶ πάλιν δευτέραν ποιήσαντες ἀνακομιδήν, εὕρομεν τὸ αὐτὸ Λείψανον ἀκέραιον, πᾶσαν εὐωδίαν ἐκπέμπον καὶ ἰάματα. Ἔμεινε δὲ ἐν τῇ γῇ τοῦ Ἁγίου τὸ λείψανον καὶ πρῶτον καὶ ὕστερον χρόνους δύο καὶ μῆνας ὀκτώ.

### Ὑπογραφαὶ τῶν Μαρτύρων

Ταπεινὸς Ἐπίσκοπος Κεφαλληνίας καὶ Ζακύνθου Παχώμιος.
Φραγκίσκος ὁ Μεταξᾶς καὶ Οἰκονόμος.
Ζαχαρίας Ἱερεὺς ὁ Βαλλιάνος, καὶ Σκευοφύλαξ.
Δανιὴλ Ἱερομόναχος ὁ Μαρκέτος.
Ματθαῖος Ἱερεὺς ὁ Στυλιανός.
Θεόδωρος Ἱερεὺς ὁ Πηνιατόρος, καὶ Πρωτοπαππᾶς.
Θεόχαρις Ἱερεὺς ὁ Βάλσαμος.
Ἀντώνιος Ἱερεὺς ὁ Βάλσαμος.
Ἰωάννης Τσιμάρας Μαθητὴς τοῦ Ἁγίου.
Πέτρος Κόμης Μαθητὴς τοῦ Ἁγίου.
Ἰωάννης Βαπτιστὴς ὁ Μεταξᾶς.
Ἄγγελος Κόκκινος.
Θεόδωρος Χαλκιόπουλος Μαθητὴς τοῦ Ἁγίου.
Ἀντώνιος Βάλσαμος Μαθητὴς τοῦ Ἁγίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἡ εἰκὼν τοῦ Ἁγίου, ὡς τὸ τίμιον πρόσωπον ἀνεπαρεστάθη ἐπὶ τῇ βάσει τοῦ Ἱεροῦ Λειψάνου, ὡς ἔχει σήμερον, ἐντολῇ τοῦ Σ. Μητροπολίτου Κεφαλληνίας κ. Γερμανοῦ διὰ χειρὸς Ἱερομ. Παρθενίου Λουκέρη.



***Ὁ Πατριαρχικὸς καὶ Συνοδικὸς Τόμος τῆς εἰς Ἅγιον ἀνακηρύξεως τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου.***

---

# ΚΥΡΙΛΛΟΣ* ΕΛΕΩι ΘΕΟΥ

**Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.**

***Τοῖς κατὰ Χριστὸν πολιτευομένοις χάρις καὶ ἔλεος παρὰ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.***

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ✦ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ✦

Ὅσιον ἅμα καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας πληρώματι, εἴπερ τι ἄλλο λυσιτελέστατον φαίνεται, τοὺς ἀρετῇ διαπρέψαντας ἐν τῷ μετὰ σώματος βίῳ, καὶ μετὰ τὴν ἀποβίωσιν, τελεταῖς ἐτησίαις καὶ ὕμνοις ἐγκωμίων γεραίρεσθαι. Ἐκεῖνο μέν, ὅτι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμή, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας, ὥς που κάλλιστα φιλοσοφῶν ὁ Καισαρείας διδάσκει Βασίλειος· καὶ ὅτι ὁ τοῖς κατ' ἀρετὴν βεβιωκόσιν ἀπονεμόμενος ἔπαινος δι' ἀρετήν, εἰς Θεὸν ἀναφέρεται, παρ' οὗ πᾶσα ἀρετὴ εἰς ἀνθρώπους, οἷά που θεολογῶν ἀποφαίνεται Γρηγόριος ὁ τῆς Θεολογίας ἐπώνυμος. Πρόσθες δὲ ὅτι καὶ ὡς χρέος ἡμῖν τοῖς τοιούτοις ἀφοσιωτέος ὁ ἔπαινος, ἵνα μηδενὶ μηδὲν ὀφείλομεν κατὰ τὸν Θεῖον Ἀπόστολον. Λυσιτελέστατον δὲ τοῖς πᾶσιν ὁμοίως, ἐπειδὴ ὁ περὶ τὰ καλὰ ἔπαινος τοὺς ῥαθυμοτέρους ἐγείρειν τε πέφυκε καὶ παραθήγειν εἰς ζῆλον καὶ μίμησιν τῶν αὐτῶν, τοὺς δὲ φιλοπονωτέρους ἀκμαιοτέρους ἐργάζεσθαι· οὐδὲν γὰρ οὕτως οἶδε πόθον ψυχαῖς τήν τε

---

* Ὁ Λούκαρις.

ἀρχὴν παραγαγεῖν καὶ προαγαγεῖν παρηγμένον, ὡς εὐφημία περὶ τὰ εὐφημούμενα, τοῖς μὴ παντάπασι βεβλακευμένοις καὶ νωθροῖς τὴν διάνοιαν. Ὅσοι δὲ ἐπὶ ποσὸν ἀρετῆς ἤδη προβεβηκότες τυγχάνουσι, τούτοις εὐφροσύνην οὐ τὴν τυχοῦσαν χαρίσεται ἡ περὶ τοὺς ἀγαθοὺς εὐφημία, εἰ δεῖ Σολομῶντι πείθεσθαι, ἐγκωμιαζομένου δικαίου, λέγοντι, εὐφραίνεσθαι τοὺς λαούς. Πρόσθες δὲ ὡς οὐδὲ μικρὰ συμβάλλεται εἰς ἀντίληψιν ἡμῶν ἐν περιστάσεσιν ἡ πρὸς τοὺς σεβασμίως τελευτήσαντας ἄνδρας τιμή, εἰ χρὴ τοῖς ὁρωμένοις ἐξεικάζειν τὰ ἀόρατα τῆς μεγαλουργίας τοῦ Θεοῦ· εἰ γὰρ οὐκ ἄχρηστος τῇ ἀγαθοδότιδι τοῦ Θεοῦ προνοίᾳ τῶν ὑλικῶν αἰτίων ἡ τάξις ἐπὶ τῶν ὁρωμένων εἰς διεξαγωγὴν καὶ διοίκησιν τοῦ παντός, εἰκός ἐστι καὶ πρὸς διανομὴν τῶν ὑπὲρ φύσιν χαρισμάτων τοῦ Τελεταρχικοῦ Πνεύματος, μὴ παντάπασιν ἀχρήστους εἶναι τὰς τῶν θείων ἀνδρῶν πρεσβεύσεις καὶ μεσιτείας. Πρὸς δὴ ταῦτα καὶ ἀπιδοῦσα ἀνέκαθεν ἡ τῶν εὐσεβῶν ὁμήγυρις, ἐν εἰκόσι καὶ λόγοις τῶν θεαρέστως πολιτευσαμένων τὰς πράξεις καὶ τὰ κατορθώματα ἐκτίθεσθαι εἴωθε, πρὸς οὓς ἀπευθύνειν τε καὶ ῥυθμίζειν τῶν πιστῶν ἕκαστος ἔχοι τὸν ἑαυτοῦ βίον. Ἐπειδὴ οὖν καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ηὐδόκησεν ὁ Θεὸς ὁσίως καὶ θεαρέστως βιώσαντα τὸν ἐν τοῖς Ὁμαλοῖς καλουμένοις χωρίοις τῆς νήσου Κεφαλληνίας Θεῖον Γεράσιμον τύπον γενέσθαι τοῦ κατὰ Χριστὸν πολιτεύματος, καὶ θείας ἀρετῆς χαρακτῆρα, οὗπερ αἱ ἐν βίῳ ἀρεταί τε καὶ τὰ κατορθώματα, οὐ μόνον ὑπ' ἀνθρώπων θαυμάζονται, καὶ πανταχοῦ κηρύττονται παρὰ τῶν εἰδότων, ἀλλὰ καὶ ὑπὸ Θεοῦ πολλῷ μᾶλλον ἐπιβεβαιοῦνται καὶ ἐπισφραγίζονται καθ' ἑκάστην τοῖς θαύμασιν, ὅσα εἰς ὠφέλειαν τῶν δεομένων καὶ καταφευγόντων εἰς τὸ Θεῖον αὐτοῦ τέμενος ἡ μεγαλόδωρος τοῦ Ἀγαθαρχικοῦ Πνεύματος ἀπεργάζεται Χάρις, Ἡμεῖς καὶ εὐσεβεῖν προθυμούμενοι πρὸς τὸν Θεὸν ἐν τῷ τὴν προσήκουσαν ἀπονέμειν τοῖς θείοις ἀνδράσι τιμήν, καὶ τῆς κοινῆς τῶν Πιστῶν ὠφελείας προνοούμενοι, συνῳδὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τοῖς πρὸ ἡμῶν Θείοις Πατράσι τῷ κοινῷ τῆς Ἐκκλησίας ἔθει κατακολουθοῦντες, Συνοδικῶς θεσπίζομεν, διοριζόμεθα καὶ ἐν Ἁγίῳ διακελευόμεθα Πνεύματι, γνώμῃ καὶ τῶν παρευρεθέντων Μακαριωτάτων Πατριαρχῶν τοῦ τε Ἀντιοχείας καὶ τοῦ Ἱεροσολύμων, Ἱερωτάτων Μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν Ἁγίῳ Πνεύματι ἀγαπητῶν Ἀδελφῶν καὶ συλλειτουργῶν, Ἀρχιεπισκόπων τε καὶ Ἐπισκόπων ταὶ Τιμιωτάτων Κληρικῶν, ***ἵνα ὁ προρρηθεὶς ἐν Ἁγίοις Γεράσιμος, ἐτησίαις Ἱεροτελεστίαις καὶ Ἁγιστείαις τιμῷτο καὶ ὕμνοις ἐγκωμίων γεραίροιτο, καὶ ἐν ἀριθμῷ τῶν Ὁσίων καὶ Ἁγίων ἀνδρῶν καταλέγοιτο ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς εἰς αἰῶνα τὸν ἅπαντα, οὐ μόνον ἐν τῇ Νήσῳ τῶν Κεφαλληναίων, ἀλλ' ἐπὶ πάσης τῆς ἀπὸ περάτων ἕως περάτων τῆς Οἰκουμένης τῶν Εὐσεβῶν Ἐκκλησίας.*** Ὁ δὲ μὴ προσδεξάμενος τὴν Συνοδικὴν ταύτην ἀπόφασιν, ἢ ὅλως ἀντειπεῖν τολμήσας, μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν, ἀποκοπτέος τῆς τῶν εὐσεβῶν ὁμηγύρεως, καὶ τοῖς πᾶσιν ἔστω ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν. Εἰς γὰρ ἀΐδιον μνήμην καὶ διηνεκῆ τοῖς πᾶσιν ἀσφάλειαν τὰ παρόντα κανονικῶς τε καὶ Συνοδικῶς ἀποφηνάμενοι ἐπιδεδώκαμεν. Ἐν ἔτει ἑπτάκις χιλιοστῷ ἑκατοστῷ τριακοστῷ, Μηνὶ Ἰουλίῳ Ἰνδικτιῶνος Πέμπτης *.

**Κύριλλος** *ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.*

***Ἰωακεὶμ*** *ἐλέῳ Θεοῦ Πατριάρχης Ἀντιοχείας.*

***Θεοφάνης*** *ἐλέῳ Θεοῦ Πατριάρχης τῆς Ἁγίας πόλεως Ἱερουσαλήμ.*

† *Ὁ Κυζίκου* ***Παρθένιος.***

† *Ὁ Παλαιῶν Πατρῶν* ***Θεοφάνης.***

* Ἤτοι 1622 μ. Χ.

† Ὁ Ναυπάκτου καὶ Ἄρτης **Γαβριήλ.**
† Ὁ Ἀγχιάλου **Παρθένιος.**
† Ὁ Ἀδριανουπόλεως **Ἄνθιμος,**
† Ὁ Νεοκαισαρείας **Βενέδικτος.**
† Ὁ Ἀρχιεπίσκοπος Προικοννήσου **Κλήμης,** καὶ ἄλλοι πλεῖστοι.

Ταπεινὸς Ἐπίσκοπος Κεφαλληνίας καὶ Ζακύνθου **Παρθένιος** μαρτύρομαι εἶναι ἀντίγραμμα ἐκ τοῦ Ἀρχετύπου τοῦ ἐνταῦθα εὑρισκομένου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ❖ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ❖



Τὸ Ἱερὸν Λείψανον μετὰ τῆς ἀργυρᾶς Λάρνακος κατὰ τὴν λιτανείαν τῆς 23 Αὐγούστου 1937 μεταξὺ τοῦ ἀειμνήστου Ἀρχιεπισκόπου Ἀθηνῶν Χρυσοστόμου καὶ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κεφαλληνίας Γερμανοῦ.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΕΡΑΣΙΜΟΥ

## ΤΟΥ ΝΕΟΥ ΑΣΚΗΤΟΥ
## ΤΟΥ ΕΝ ΤΗι ΝΗΣΩι ΚΕΦΑΛΛΗΝΙΑι

ΨΑΛΛΟΜΕΝΗ ΤΗι ΙΣΤ΄ ΑΥΓΟΥΣΤΟΥ
ΕΠΙ ΤΗι ΜΝΗΜΗι ΤΗΣ ΑΓΙΑΣ ΑΥΤΟΥ ΚΟΙΜΗΣΕΩΣ

---

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχ. δ΄ καὶ ψάλλομεν**

**Στιχηρὰ προσόμοια.**

**Ἦχ. Β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Δεῦτε Κεφαλλήνων οἱ πιστοί, δράμωμεν προθύμως καὶ πόθῳ, τῷ Γερασίμου Ναῷ, ὕμνους ἀναπέμψωμεν τῷ εὐεργέτῃ Θεῷ, τῷ μεγάλως δοξάσαντι, ὑστέροις ἐν χρόνοις, χάρισι καὶ τέρασι, καὶ θαυμασίοις πολλοῖς, τοῦτον τὸν αὐτοῦ ὑπηρέτην, ὃν περ καὶ προστάτην παρέσχε, πᾶσι τοῖς αὐτῷ προστρέχουσιν ἐκ πίστεως.

Χάρις ἡ τοῦ Πνεύματος ἡμᾶς, Πάτερ ἡ ἐν σοὶ ἐνοικοῦσα, φαιδρῶς συνήγαγεν, ᾄσμασι προτρέπουσα, τὴν θείαν μνήμην σου, τὴν σεπτὴν καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χαρμόσυνον, αἰσίως τιμῆσαι, χάριτος ὡς πρόξενον Μάκαρ Γεράσιμε· ὅθεν προσφωνοῦμεν σοι σκέπε, τοὺς προσκαλουμένους σε πόθῳ, ἀπὸ τῶν δεινῶν καὶ περιστάσεων.

Πάντες ὡς μεγίστην ἀληθῶς, καθομολογοῦμεν ἐν πίστει, τὴν προστασίαν τὴν σήν, ἐν ταῖς περιστάσεσι τῶν συμφορῶν καὶ δεινῶν, τάχος Μάκαρ προφθάνουσαν, εὐχαῖς εὐπροσδέκτοις, Ὅσιε Γεράσιμε πρὸς τὸν Σωτῆρα Χριστόν· ὅθεν σε προστάτην πλουτοῦντες, μνήμην τὴν σὴν ὕμνοις τελοῦμεν, εὐχαρίστως ἀγαλλόμενοι.

Σκῆνος σου Θεόφρον τὸ σεπτόν, σκεῦος ἀπειργάσω χαρίτων καὶ οὐρανίων ἠθῶν, πόνοις τοῖς ἀσκήσεως, καὶ θεῖον ὄργανον, δωρεῶν τῶν τοῦ Πνεύματος, ἀείμνηστε Πάτερ, ὅθεν θαυματόβρυτον ὁ στεφοδότης Χριστός, δῶρον αὐτὸ δέδωκε πᾶσι, τοῖς πανευλαβῶς κεκτημένοις, πρέσβυν σε θερμὸν Θεῖε Γεράσιμε.

**Δόξα. Ἦχος δ΄.**

Τὸν ἐξαίσιον καὶ πανθαύμαστον βίον σου, ἐξεπλάγησαν δαίμονες, καὶ ἐθαύμασαν Ἄγγελοι, ὁρῶντες σε ἐπὶ γῆς, ἐν σαρκὶ ὡς ἄσαρκον δι' ἀρετὴν διαπρέποντα. Διὸ ἡ μνήμη σου σήμερον, Θεοφόρε Γεράσιμε, εὐφροσύνης πρόξενος ἡμῖν ἐπέστη, καὶ χαρμόσυνον ἑορτὴν ἐπιτελοῦντες, σέβομεν πόθῳ τὸ Ἱερὸν καὶ Ἅγιον Σκῆνος σου, ἀξιοχρέως δοξάζοντες, τὸν σὲ δοξάσαντα Κύριον.



**Καὶ νῦν. Τῆς Ἑορτῆς ὁ αὐτός.**

Τὴν πάνσεπτόν σου Κοίμησιν, Παναγία Παρθένε Ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν, ὅτι Μήτηρ γέγονας τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς Σὲ μετὰ Θεόν, τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

**Τό, Φῶς ἱλαρόν, καὶ τὰ λοιπά.**

**Εἰς τὸν Στίχον Στιχηρά.**

**Ἦχος Β΄. Οἶκος τοῦ Εὐφραθᾶ.**

Στίφη τῶν εὐσεβῶν, δοξάσωμεν συμφώνως Θεὸν τὸν κηδεμόνα, τὸν δόντα φιλανθρώπως, ἡμῖν Θεῖον Γεράσιμον.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Οὗτος γὰρ ἀληθῶς, τῆς πίστεως ὑπάρχει, τὸ στήριγμα καὶ κλέος, Ὀρθοδοξίας ὄντως, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.**

Σκῆνος γὰρ τὸ σεπτόν, ἀείζωον δεικνύων, αἰσχύνει τοὺς ἀπίστους, τοὺς δὲ πιστοὺς προτρέπει, δοξάζειν τὸν Παντάνακτα.

**Δόξα. Ὅμοιον.**

Δόξα σοι Βασιλεῦ, Παντάναξ πλουτοδότα πανεύσπλαγχνε τῷ δόντι, Γεράσιμον σοῖς δούλοις, ὡς πλοῦτον ἀναφαίρετον.

**Καὶ νῦν. Ὅμοιον.**

Δέσποινα Ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον Πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

**Τό, Νῦν ἀπολύεις, καὶ τὰ λοιπά.**

**Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Τῶν πιστῶν σε προστάτην, καὶ ταχὺν ἀντιλήπτορα, ὁσιώτατε Πάτερ, Θεοφόρε Γεράσιμε, ἀνέδειξε Θεὸς ἐπὶ τῆς γῆς, ὁ πάντων τῶν ὄντων κηδεμών· θεραπεύει γὰρ σωμάτων καὶ ψυχῶν τὰ πάθη τῇ σῇ χάριτι. Δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Ἐν τῇ γεννήσει.**

**Καὶ τὰ λοιπὰ καὶ Ἀπόλυσις.**

---



ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

**Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχ. ὀκτώ, καὶ ψάλλομεν Στιχηρὰ τῆς Ἑορτῆς τῆς Κοιμήσεως τῆς Θεοτόκου, ἅπερ εἴπομεν ὀψὲ εἰς τὸν μεγάλον Ἑσπερινόν. Ὢ τοῦ παραδόξου θαύματος, ποιοῦντες αὐτὰ δ΄.**

---

**Καὶ τοῦ Ἁγίου προσόμοια δ΄.**

**Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.**

Τῷ τιμίῳ Λειψάνῳ σου, ἡ σὴ Νῆσος ἀγάλλεται, καὶ τοῖς θείοις ᾄσμασι καταστέφει σε, πλουτισαμένη σε ἄσυλον, θησαύρισμα Ὅσιε, καὶ ὑπέρμαχον θερμόν, πρεσβευτὴν προθυμότατον, ταύτην σῴζοντα, ἐκ παντοίων κινδύνων, ὡς μεγίστην παῤῥησίαν κεκτημένος, ὦ Θεοφόρε Γεράσιμε.

Καὶ εἰς Τρίκκην πανόλβιε, καὶ εἰς Ὄρος τοῦ Ἄθωνος, καὶ Ἑώαν ἅπασαν, καὶ εἰς Σίναιον, καὶ εἰς Σιὼν ἁγιώνυμον, ἐρήμους καὶ σπήλαια Ἰορδάνην τε λαμπρῶς, ὁ περίδοξος βίος σου, ἐναπήστραψε, καὶ πλησθείς, τῶν ἐνθέων χαρισμάτων, θησαυρὸς ἐναπετέθης, ἐν τῇ Μονῇ σου θαυμάσιος.

Φυγαδεύονται δαίμονες, ἀσθενεῖς θεραπεύονται, τοῦ λοιμοῦ ἡ κάκωσις ἀφανίζεται, γῆς δὲ αὐχμὸς διαλύεται, ψυχαὶ διασώζονται, τὸ γὰρ ὄνομα τὸ σόν, τὸ σεπτὸν καὶ σεβάσμιον, δῶρον τί-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μιον, εὑραμένη θεόθεν δεδομένον, ἡ σὴ Νῆσος τὰς αἰτήσεις, ταῖς σαῖς πρεσβείαις κομίζεται.

Μυστηρίων γεγένησαι, Ἱερεὺς καθαρώτατος, μοναζόντων καύχημα, καὶ ἑδραίωμα καὶ ἀσκητῶν τύπος ἄριστος, πιστούμενος ἅπασι, τὰ σεπτά σου, καὶ λαμπρά, κατορθώματα Ἅγιε, δι' ὧν κέκτησαι, τὴν τοῦ Πνεύματος χάριν παραδόξως, ἐν σοὶ Μάκαρ ἐνοικοῦσαν, καὶ τηλαυγῶς ἀπαστράπτουσαν.

**Δόξα, καὶ νῦν. Ἦχος α'.**

Θεαρχίῳ νεύματι, στέψωμεν ὦ φιλεόρτων ὁμήγυρις, Νεοφανῆ ἀντιλήπτορα μέγιστον. Πλ. α'. Ἐπιτελοῦντες τὴν χαρμόσυνον, καὶ πανίερον μνήμην, αὐτὸν μεγαλύνωμεν. β'. Τὴν δὲ πανέντιμον περικυκλοῦντες θήκην, μετ' εὐφροσύνης τῇ χάριτι εὐωχούμενοι. πλ. β'. Τὸ χαριτόβρυτον, καὶ πανσέβαστον Σκῆνος θεώμενοι, ᾠδαῖς ἀναμέλψωμεν, εὐσεβοφρόνως τε γεραίροντες τὸν τοῦ Χριστοῦ ὑπηρέτην, τὸν ὕμνον σπεύσωμεν ἐκβοῆσαι· ἰδοὺ ὁ ἀοίδιμος Γεράσιμος προτίθεται. γ'. Δῶρον τοίνυν θεόθεν δεδωρημένον, ἐδεξάμεθα δωρεαῖς παγχρύσοις κεκοσμημένον. Βαρύς. Εὐλογίαν γὰρ πᾶσιν ἡμῖν ἐκ Θεοῦ παρασχεῖν ἐλήλυθας, ᾧ ἀτενίζειν οὐ παυσόμεθα, κἂν σοι ἐπάξιον γέρας ἀπονέμειν ἀδύνατον. δ'. Ζῶντα



γὰρ καὶ μετὰ πότμον θησαυρόν σε ἐπλουτήσαμεν. πλ. δ'. Διὸ Ὅσιε Θεοφόρε, Χριστῷ σὺν τῇ Θεοτόκῳ Μαριάμ, Ἀχράντῳ Κόρῃ, πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου· τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα. α'. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

**Εἴσοδος, Τὸ Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκαύτωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ἡμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον, Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Εἰς δὲ τὴν Λιτὴν Ἰδιόμελα. Ἦχος α'.

Τὸν νέον Ἀσκητήν, καὶ νεοφανῆ ἐκ τῆς Ἑώας ἀνατείλαντα ἀστέρα, θεῖον Γεράσιμον, ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν· ἐγκρατείᾳ γὰρ τὸ σῶμα

νεκρώσας, καὶ τῇ ἀπαθείᾳ ἁγνίσας τὴν ψυχήν, θεῖον ἑαυτὸν ἐνδιαίτημα, ἔτι ἐν τῷ μετὰ σώματος βίῳ ἀπετέλεσε. Διὸ καὶ μετὰ θάνατον, ἐν γῇ μὲν αὐτοῦ τὸ σῶμα, ἐν Οὐρανοῖς δὲ τὸ πνεῦμα δοξάζεται, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ἦχος πλ. β΄.**

Χαίρει σήμερον ἡ σὴ Νῆσος, ἐν τῇ πανσέπτῳ σου μνήμῃ, Μάκαρ θεοφόρε Γεράσιμε, καὶ σὺν αὐτῇ ἅπαντες πιστοὶ εὐφραίνονται ἀγαλλόμενοι· ἀνέτειλας γὰρ τῷ Κόσμῳ, Ἀστὴρ νεοφανὴς τῇ φαιδρότητι τῆς χάριτος ἀστραπτόμενος, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτός.**

Μάκαρ Θεοφόρε Γεράσιμε, σὲ καὶ ζῶντα περιχαρῶς ἐπλουτίσαμεν, καὶ μετὰ θάνατον ἔχειν σε ἠξιώθημεν πανθαύμαστε. Διὸ τὸ θεῖον σου, καὶ σεβάσμιον Σκῆνος, εὐλαβῶς ἀσπαζόμενοι, δυσωποῦμεν σε, τὸν Θεὸν ἱκετεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτός.**

Πόθῳ θείῳ καὶ ἔρωτι, τρωθεὶς τὴν ψυχὴν ἱερῶς, Γεράσιμε πανθαύμαστε, τὸν τῶν γεννητόρων πόθον ἀπώσω, καὶ συγγενῶν καὶ φίλων σαυτὸν



ἀποχωρήσας, ἐμάκρυνας φυγαδεύων, τόπον ἐκ τόπου ἀμειβόμενος· καὶ δὴ ἐκ πολλῶν ἐνθέου βίου παραδειγμάτων, τὸ τῆς ἀρετῆς μέλι ὡς ἐξ ἀνθέων, οἷά τις σοφὴ συλλεξάμενος μέλισσα, ἐν τῇ σαυτοῦ ψυχῇ, ὡς ἐν σίμβλῳ νοητῷ ἐναπέθηκας· διό σε ὁ Χριστὸς θαυμάτων ἐνεργείαις ἐδόξασεν ἐν γῇ, καὶ τῆς χαρᾶς τῶν ἐκλεκτῶν ἐν Οὐρανῷ κατηξίωσεν· ἧς καὶ ἡμᾶς μιμητὰς τοῦ σοῦ βίου γενομένους, ἀξιωθῆναι πρέσβευε, τοὺς ἐτησίως τελοῦντας τὴν μνήμην σου.

**Ἦχος β΄.**

Ἐν τοῖς ἐπουρανίοις σκηνώμασιν, Ὅσιε, σὺν ταῖς τῶν Ἁγίων χορείαις, τὸ πνεῦμα σου αἰωνίως ἀγάλλεται, λαμπρῶς δέ σου καὶ τὸ σῶμα τὸ θαυματόβρυτον, φθορᾶς ἀνώτερον, ἐν τῇ Κεφαλληνίᾳ διασῳζόμενον τιμᾶται, καὶ πανταχοῦ τὸ σεπτόν σου ὄνομα ὑμνεῖται, καὶ δοξάζεται Χριστός, ὁ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας.

**Δόξα Ἦχος πλ. α΄.**

Ὅσιε Πάτερ, Γεράσιμε θεσπέσιε, Μωσέως τοῦ Θεόπτου, καὶ Ἠλιοῦ τοῦ ζηλωτοῦ, τοὺς τρόπους ἐκμιμούμενος, καὶ τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, ἔξω Κόσμου καὶ σαρκὸς ἐγένου,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ζῶν ὑπὲρ τὰ ὁρώμενα· διὸ καὶ ὁ Χριστός σε ἀξίως ἐδόξασεν, ἐν γῇ μὲν τὸ θεῖον σου Σκῆνος, κρεῖττον διαφθορᾶς συντηρῶν, ὡς τὸ κατ' εἰκόνα ἀδιαλώβητον τηρήσαντα· ἐν Οὐρανῷ δὲ τὸ Πνεῦμα σου, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία κατέταξεν, ᾧ πρεσβεύων μὴ παύσῃ ὑπὲρ τῶν τιμώντων σε.

**Καὶ νῦν Τῆς Ἑορτῆς ὁ αὐτός.**

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα: δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν, τῇ καταπαύσει τῆς Κιβωτοῦ τοῦ Θεοῦ· σήμερον γὰρ Οὐρανὸς ἐφαπλοῖ τοὺς κόλπους δεχόμενος, τὴν τεξαμένην τὸν ἐν πᾶσι μὴ χωρούμενον, καὶ ἡ τὴν πηγὴν τῆς ζωῆς, ἀποδιδοῦσα τὴν εὐλογίαν, στολίζεται τὴν εὐπρέπειαν. Ἄγγελοι χοροστατοῦσι σὺν Ἀποστόλοις, περιδεῶς ἐνατενίζοντες, ἐκ ζωῆς εἰς ζωὴν μεθισταμένην, τὴν τεκοῦσαν τὸν Ἀρχηγὸν τῆς ζωῆς. Πάντες προσκυνήσωμεν αὐτὴν δεόμενοι, συγγενοῦς οἰκειότητος, μὴ ἐπιλάθῃ Δέσποινα, τῶν πιστῶς ἑορταζόντων τὴν παναγίαν σου Κοίμησιν.

**Καὶ τὰ λοιπὰ τῆς Λιτῆς.**

**Εἰς τὸν Στιχ. Στιχηρὰ προσόμοια.**



**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.**

Ὅτε σε ἐκ τῶν δε τῶν φθαρτῶν, Μάκαρ, ὁ διάπυρος ἔρως Θεοῦ ἐξήρπασε, τότε σου τὴν ἔφεσιν πᾶσιν ἀντέθηκας, καὶ αὐτῷ ἠκολούθησας, μακρὰν φυγαδεύων, εἰς ἔρημον ἄβατον ἐν ᾗ ὡμίλεις Χριστῷ· ὃν νῦν δυσωπῶν μὴ ἐκλείπῃς, ὑπὲρ τῶν ἀεὶ σὲ τιμώντων, καὶ μακαριζόντων Ἱερώτατε.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατός του.**

Νέος ἀνεδείχθης Ἀσκητής, καὶ θαυματουργὸς Θεοφόρε, ἐχθρὸν σφαξάμενος, τὸν μισανθρωπότατον, καὶ δολιώτατον, τὸν εἰς ὕψος καυχώμενον, καὶ γένος ἀνθρώπων, παμπήδην γελάσαντα, καὶ ἀπατήσαντα· ὅθεν τὴν ἁγίαν σου μνήμην, πόθῳ ἐκτελοῦντες Θεόφρον, ὕμνοις ἑορτάζομεν Γεράσιμε.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.**

Πᾶσαν τρικυμίαν τῶν παθῶν, Πάτερ κατεμάρανας σφόδρα, τῇ ἐγκρατείᾳ σαρκός, ἄλλος ὥσπερ ἄσαρκος ἐν γῇ ἀγώνισαι, τὰς ὀρέξεις νεκρώσας σου, τοῖς πόνοις καὶ μόχθοις, θεῖον καταγώγιον γέγονας πνεύματος· ὅθεν σου τὴν πάνσεπτον μνήμην, ἡμῶν ἐκτελούντων προσφόρως, μέμνησο πολύτλα παμμακάριστε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Ἦχος δ΄. Δόξα.**

Οὐρανίου πολιτείας φωστὴρ διαυγέστατος, ἔλαμψας τῷ Κόσμῳ τῷ κάλλει τοῦ πνεύματος, φαιδρῶς καθωραϊσμένος, καὶ τῇ αἴγλῃ τὸν νοῦν καταστραπτόμενος. Διὸ προστάτην πλουτοῦντες σε Γεράσιμε Ὅσιε, καὶ τὸ σεβάσμιον Σκῆνος σου εὐλαβῶς ἀσπαζόμενοι, δεόμεθά σου ἐκτενῶς, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν Τῆς Ἑορτῆς, ὁ αὐτός.**

Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, παρῆν Ἰάκωβος ὁ Ἀδελφόθεος καὶ πρῶτος Ἱεράρχης. Πέτρος δὲ ἡ τιμιωτάτη κορυφαία τῶν Θεολόγων ἀκρότης, καὶ σύμπας ὁ θεῖος, τῶν Ἀποστόλων χορός, ἐκφαντορικαῖς θεολογίαις ὑμνολογοῦντες, τὸ θεῖον καὶ ἐξαίσιον τῆς Χριστοῦ τοῦ Θεοῦ, οἰκονομίας Μυστήριον, καὶ τὸ ζωαρχικόν, καὶ θεοδόχον σου Σῶμα κηδεύσαντες, ἔχαιρον Πανύμνητε· ὕπερθεν δέ, αἱ πανάγιαι, καὶ πρεσβύτατοι τῶν Ἀγγέλων Δυνάμεις, τὸ θαῦμα ἐκπληττόμεναι, κεκυφυῖαι ἀλλήλαις ἔλεγον· ἄρατε ὑμῶν τὰς πύλας, καὶ ὑποδέξασθε, τὴν τεκοῦσαν τὸν Οὐρανοῦ καὶ γῆς Ποιητήν· δοξολογίαις τε ἀνυμνήσωμεν, τὸ σεπτόν, καὶ ἅγιον Σῶμα, τὸ χωρῆσαν τὸν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ❖ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ἡμῖν ἀθεώρητον καὶ Κύριον. Διό περ καὶ ἡμεῖς τὴν μνήμην σου ἑορτάζοντες, ἐκβοῶμεν σοι Πανύμνητε· Χριστιανῶν τὸ κέρας ὕψωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Τό, Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, καὶ τὰ λοιπά.**

**Ἦχος α΄. Ἀπολυτίκιον.**

Τῶν Ὀρθοδόξων προστάτην, καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν Θεοφόρον νεοφανέντα ἡμῖν, ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον, ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀέναον χάριν· ρώννυσι τοὺς νοσοῦντας, δαιμονιῶντας ἰᾶται· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

**Δόξα. Ὁ αὐτός. Πρὸς τό,**

**Τῆς ἐρήμου πολίτης.**

Τῶν πιστῶν σε προστάτην, καὶ ταχὺν ἀντιλήπτορα, ὁσιώτατε Πάτερ, Θεοφόρε Γεράσιμε, ἀνέδειξε Θεὸς ἐπὶ τῆς γῆς, ὁ πάντων τῶν ὄντων Κηδεμών· θεραπεύεις γὰρ σωμάτων, καὶ τῶν ψυχῶν τὰ πάθη τῇ σῇ χάριτι. Δόξα τῷ σὲ δοξάσαντι λαμπρῶς· δόξα τῷ θαυμαστώσαντι· δόξα τῷ ἐνεργετοῦντι διὰ σοῦ πᾶσιν ἰάματα

**Καὶ νῦν. Ἐν τῇ γεννήσει τὴν παρθενίαν.**

**Καὶ τὰ λοιπά.**

**Ἐν τῷ Ὄρθρῳ. Μετὰ τὴν α΄ Στιχολογίαν.**

Νεοφανέντος σου τῇ οἰκουμένῃ Σοφέ, καὶ πλουτισθέντος σου ταῖς θεϊκαῖς ἀρεταῖς, λελαμπρυσμένος φωστὴρ ἐναπεφάνθης· ὅθεν στερεώματι Ἐκκλησίας τεθέντα σε, ᾄσμασι γεραίρομεν, ὡς ἀστράπτοντα χάρισι, διὸ καὶ σὲ προστάτην πλουτοῦντες, ὕμνοις, τὴν σὴν τιμῶμεν μνήμην.

**Δόξα. Ὅμοιον.**

Τὴν καθαρότητα τῆς διανοίας σου, καὶ τὸ ἐπίμονον, τὸ τῶν καμάτων σου, τήν τε ἰσάγγελον ζωήν, ἰδών σου ὁ Στεφοδότης, χάρισιν ἐλάμπρυνε, καὶ λαμπρῶς σε ἐδόξασε, φύλακα παρέχων σε, καὶ ἡμῶν ἀντιλήπτορα· διὸ καὶ εὐχαρίστως ἡ Νῆσος σου, δόξαν Θεῷ προσαναπέμπει.

**Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.**

Ἐν τῇ γεννήσει σου, σύλληψις ἄσπορος· ἐν τῇ κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος βρεφοτρόφος ἁγνεύουσα; πῶς δὴ Μητρόθεος, νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμεν σοι, Χαῖρε ἡ Κεχαριτωμένη.

**Ἦχος γ΄. Μετὰ τὴν β΄. Στιχολογίαν. Κάθισμα,**



**Ἡ Παρθένος σήμερον.**

Ἐπὶ γῆς ὡς ἄσαρκος ἐν ἀρετῇ διαπρέψας, πολιτείας γέγονας ἐπουρανίου ἐργάτης. Πνεύματος δὲ τοῦ Ἁγίου φανεὶς δοχεῖον, χάριτι θαυμάτων Μάκαρ ἀντεδοξάσθης. Διὸ πάντες σου τὸ Σκῆνος σέβομεν πόθῳ, Θεῖε Γεράσιμε.

**Δόξα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Ἀρετῶν φαιδρότητι κεκοσμημένος, τὴν στολὴν τῆς χάριτος, Μάκαρ ἐδέξω ἐκ Θεοῦ, καὶ τὸ σεβάσμιον Σκῆνος σου πιστοῖς ἐδόθη πηγὴ χαριτόβρυτος.

**Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.**

Τῇ σεπτῇ Κοιμήσει σου ἡ οἰκουμένη, τῷ ἀΰλῳ πνεύματι πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει σοι· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

**Ἦχος πλ. δ΄. Μετὰ τὸν Πολυέλεον Κάθισμα.**

**Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί.**

Τῆς ἀγάπης τῷ ἔρωτι πτερωθείς, καὶ φωτὶ τῷ τῆς χάριτος ἐλλαμφθείς, τὸν Κόσμον κατέλιπες, καὶ Χριστῷ ἠκολούθησας, ἀγγελικῶς τὸν βίον τε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λέσας ὡς ἄσαρκος, κεκαθαρμένος ὅλος ψυχῇ τε καὶ σώματι. Ὅθεν καὶ δοχεῖον, τοῦ Θεοῦ χρηματίσας, τὴν χάριν ἀπείληφας, ὡς μισθὸν τῶν καμάτων σου, τοῦ τελεῖν τὰ θαυμάσια, Θεοφόρε Γεράσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.**

Η Θεὸν συλλαβοῦσα ἄνευ σπορᾶς, σαρκωθέντα τεκοῦσα δίχα φθορᾶς, τὴν νέαν ἀμφιέννυσαι, ἀφθαρσίαν τοῦ πνεύματος· ὡς γαρ Ζωῆς σὺ Μήτηρ, καὶ πάντων Βασίλισσα, πρὸς τὴν ζωὴν μετέστης Παρθένε τὴν ἄϋλον. Ὅθεν ἐπαξίως, ἀληθῶς ἀνεδείχθης, Νεφέλη πηγάζουσα, τῆς ζωῆς ἡμῶν νάματα, Θεομῆτορ Πανάμωμε· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὴν σεπτήν σου Μετάστασιν.

**Οἱ Ἀναβαθμοὶ τοῦ δ΄ Ἤχου.**

**Τὸ προκείμενον. Τίμιος ἐναντίον Κυρίου.**

**Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.**

**Τό, Πᾶσα πνοή, τὸ Εὐαγγέλιον. ὁ Ν΄.**

**Καὶ τὸ Ἰδιόμελον, Ἦχος πλ. β΄.**

Δέδοται πιστοῖς παρὰ Θεοῦ θησαυρὸς ἀσύλητος, Γεράσιμε Ὅσιε, τὸ πάνσεπτον Σκῆνος σου· διὸ



πνευματικὴν εὐφροσύνην καὶ ἰαμάτων τὴν χάριν βρύεις ἀεννάως Μακάριε, τοῖς προστρέχουσιν ἐν πίστει τῇ Σορῷ σου τῇ θείᾳ. Πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἁγιώτατε Πάτερ, ἀτρώτους ἡμᾶς κινδύνων διασῴζεσθαι.

**Τό, Σῶσον ὁ Θεὸς τὸν λαόν σου, καὶ τὰ λοιπά.**

**Οἱ Κανόνες. Ὁ Κανὼν ὁ πρῶτος τῆς Ἑορτῆς.**

**Πεποικιλμένη τῇ θείᾳ δόξῃ, εἰς ς΄, καὶ τοῦ Ἁγίου οἱ δύω εἰς η΄. Κανὼν τοῦ Ἁγίου.**

**Ἦχος δ΄. Ὠδὴ α΄. Ἀνοίξω τὸ στόμα μου**

Τὸν ὕμνον προσάγει σοι, Μάκαρ Θεόφρον Γεράσιμε, ἡ Νῆσος σου σήμερον, ἀγαλλομένη φαιδρῶς, ἣν περίσῳζε, φρουρόν σε κεκτημένην, προστάτην θερμότατον, καὶ ἀντιλήπτορα.

Θεράπων πανάριστος, Θεοῦ παμμάκαρ καὶ γνήσιος, ἐδείχθης Γεράσιμε, βίον ἀσκήσας ἐν γῇ, τὸν ἰσάγγελον, διὸ ταῖς σαῖς πρεσβείας, τὴν Νῆσόν σου φύλαττε προσκαλουμένην σε.

Μονήν σε εἰργάσατο, Πατρός, Υἱοῦ τε, καὶ Πνεύματος, ὁ ἔνθεος πόθος σου πρὸς τὰ Οὐράνια, ὃς στηρίζων σε, τῇ χάριτι τῇ θείᾳ, τηρεῖν σε κατέπεισε Νόμου προστάγματα.

Τοὺς σὲ καταστέφοντας, νῦν ἐγκωμίων τοῖς ᾄσμασι, ἐν θρόνῳ τῆς χάριτος, παρεστηκὼς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐφ' ἡμᾶς, ταῖς πρεσβείαις σου, ἐπίβλεψον, καὶ ῥῦσαι, παντοίων ἐκ θλίψεων, Μάκαρ Γεράσιμε.

**Ἦχος πλ. δ'. Ἕτερος Κανὼν τοῦ Ἁγίου.**

**Οὗ ἡ ἀκροστιχίς. Ἄδω σοι τὸν ὕμνον ὁ δοῦλος σου ἄνευ τῶν Θεοτοκίων.**

**Ὠδὴ α'. Ἁρματηλάτην Φαραώ.**

Ἀσματικῶς μετ' εὐφροσύνης Ὅσιε, σὲ καταστέφομεν νῦν, ὕμνοις εὐχαρίστοις, τῆς χαρᾶς ὡς πρόξενον, σὲ γὰρ φρουρὸν θερμότατον, καὶ προστάτην, καὶ ῥύστην, ὁ στεφοδότης ὁ πάνσοφος, κρίμασιν ἀρρήτοις κατέστησε.

Δῶρον σεπτὸν καὶ προφανῶς ὑπέρτιμον, παρὰ Θεοῦ θησαυρόν, ἐπλουτήσαμέν σε, καὶ ἀεὶ πλουτοῦμέν σε, περιχαρῶς Γεράσιμε, καλλονὴ μοναζόντων, τῶν Ἀσκητῶν ἡ εὐπρέπεια καὶ τῶν ἱερέων τὸ καύχημα.

**Δόξα.**

Ὡς ὄντως ῥόδον θαυμαστὸν καὶ εὔοσμον Μάκαρ ἐξήνθησας, καὶ λιπὼν τὰ πάντα, τὴν ψυχὴν τοῖς ἄνθεσι τῶν ἀρετῶν ἐστόλισας, τῇ τοῦ πνεύματος αἴγλῃ, εὐωδιάζων πληρέστατα, ἅπαντα τὰ σὰ αἰσθητήρια.



**Καὶ νῦν. Θεοτοκίον.**

Δεῦρο ψυχή μου ταπεινὴ καὶ βόησον τῇ Θεομήτορι, Χριστιανῶν σκέπη, μὴ ἐγκαταλίπῃς με, ἀντιλαβοῦ, καὶ σῶσον με, καὶ τῆς αἰωνιζούσης, κολάσεως ἐλευθέρωσον, ἡ τῶν ἀνελπίστων ἀντίληψις.

**Καταβασία τοὺς δύω Εἱρμοὺς τῆς Ἑορτῆς**

**Πεποικιλμένη, καὶ Ἀνοίξω τὸ στόμα μου.**

**Ὠδὴ Γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

Ἣν σὺ ἐξελέξω παιδιόθεν, ὁδὸν μετανοίας τὴν τερπνήν, γενναίως ἐπετέλεσας, μηδὲν προκρίνας Ὅσιε, τοῦ πρὸς τὸν Κτίστην ἔρωτος, ἀγγελικῆς τε βιώσεως.

Τὸ τίμιον Σκῆνος σου Θεόφρον Γεράσιμε, βρύον τοῖς πιστοῖς, τὰ ῥεῖθρα τῶν ἰάσεων, τῆς χάριτος τεκμήριον, ὑπάρχει δι' ἧς γέγονας, σεπτὸν δοχεῖον τοῦ Πνεύματος.

Ἐπίκουρος μέγιστος ἐφάνης, δεινῶν περιστάσεων λοιμοῦ τὴν Νῆσον σου ῥυόμενος, ὡς φύλαξ συμπαθέστατος, ἣν περιφρουρεῖ πάντοτε, παντὸς κινδύνου ἀπήμονα.

Ποικίλων ἡμᾶς πειρατηρίων, κινδύνων καὶ θλίψεων δεινῶν, τῇ σκέπῃ σου προσφεύγοντας,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Γεράσιμε θεόληπτε, ταῖς σαῖς θερμαῖς δεήσεσι, ὡς συμπαθὴς ἐλευθέρωσον.

**Ἄλλος. Οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε.**

Σὲ θησαύρισμα θεῖον, οἱ εὐσεβεῖς Πνεύματος, καὶ τῆς Ἐκκλησίας φωστῆρα ἐπιγινώσκομεν, νεοφανέντα ἡμῖν, ὅθεν σε ὕμνοις τιμῶμεν, καὶ πιστῶς δοξάζομεν Μάκαρ Γεράσιμε.

Ὁλοψύχως ποθήσας τὸν πρὸς Θεὸν ἔρωτα, καὶ τῆς Οὐρανίου πατρίδος τὴν ὡραιότητα, ἐν τῇ καρδίᾳ τῇ σῇ, ἀνελλιπῶς ζωγραφίσας, κατὰ Παῦλον ἔκρινας σκύβαλα ἅπαντα.

**Δόξα.**

Ἱκετήριον ὕμνον χαρμονικῶς ᾄδοντες, καὶ τῷ σῷ τιμίῳ Λειψάνῳ δόξαν προσνέμοντες, θερμῶς αἰτοῦμεν σε, οἱ σὲ πλουτοῦντες προστάτην, τῶν δεινῶν τὴν Νῆσον σου ῥῦσαι Γεράσιμε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἀνεξάλειπτον πένθος, διηνεκὲς δάκρυον, θεῖον ἐνδιάθετον φόβον, θερμὴν κατάνυξιν, ἁγνὴν ταπείνωσιν, καὶ συντριβὴν τῆς καρδίας, Θεοτόκε Δέσποινα, δός μοι καὶ σῶσον με.



**Καταβασίαι. Τοὺς Εἱρμοὺς τῆς Ἑορτῆς.**

**Ἦχος γ΄. Κάθισμα. Τὴν ὡραιότητα.**

Σὲ τὸν ἰσάγγελον τῇ πολιτείᾳ σου, Χριστοῦ δὲ γνήσιον δοῦλον Γεράσιμε, ὑμνολογίαις ἱεραῖς, ἐν πίστει ἀνευφημοῦμεν, πόθῳ ἀσπαζόμενοι τὸ σεβάσμιον Σκῆνος Σου. Ὅθεν δῶρον τίμιον, καὶ πηγὴν τῶν ἰάσεων, εὑρόντες αὐτὸ Μάκαρ βοῶμεν: δόξα Θεῷ τῷ στεφοδότῃ.

**Δόξα. Τὸν Τάφον σου Σωτήρ.**

Ἡ πάνσεπτος ἡμῖν, τῆς τιμίας σου μνήμης, ἐπέστη Ἑορτή, ἣν τιμῶμεν προθύμως. Τὸ Σκῆνος σου τὸ Ἄχραντον ὦ Γεράσιμε σέβοντες, ὃ δοξάζουσι, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, εὐφραινόμενα, τῇ σωτηρίᾳ ἀνθρώπων, Θεὸν μεγαλύνουσι.

**Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.**

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ Σῶμα σου τὸ Ἄχραντον, Θεοτόκε Πανύμνητε· οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον θείαν.**

Οἶκος σὺ γεγένησαι τῶν δωρεῶν, τῶν ὑπερφυῶν, τῶν τοῦ Πνεύματος, ὑφηγητής τε ἐναρέτου ἀγωγῆς, καὶ πρακτικὸς διδάσκαλος ὑπερκοσμίου ἀσκήσεως.

Σοῦ τὴν πανευφρόσυνον νῦν ἑορτήν, καὶ φαιδρὰν τρισμάκαρ πανήγυριν, ἐπιτελοῦσα ἡ σὴ Νῆσος, ὡς φρουρόν, σὲ προσκαλεῖται κράζουσα, σκέπη γενοῦ μοι Γεράσιμε.

Αἴγλη θείας χάριτος σοῦ τὸ σεπτόν, Σκῆνος λαμπρυνθὲν ὦ Γεράσιμε, ὁ Στεφοδότης θαυματόβρυτον ἡμῖν, ὡς θησαυρὸν παρέθετο, θείας εὐωδίας ἀνάπλεων.

Πίστει τε καὶ πόθῳ, σοῦ ἅπαντες νῦν, Θεοφόρε Πάτερ δεόμεθα· πρόφθασον ῥῦσαι τὴν σὴν Νῆσον τῶν δεινῶν, σὲ γὰρ προστάτην κέκτηται, πρὸς τὸν οἰκτίρμονα Κύριον.

**Ἄλλος. Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις.**

Τὸ τοῦ Χριστοῦ ὄντως σεπτὸν Εὐαγγέλιον· περιφέρων ἐν τῇ διανοίᾳ σου, καὶ τῇ τοῦ Πνεύματος ὁπλισθείς, χάριτι μετέβης. ἐπὶ τὸ Ὄρος τοῦ Ἄθωνος, ἰσάγγελον τὸν βίον, καθαρῶς ἐκτελέσας, καὶ πανσόφως Θεῷ εὐηρέστησας.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ὄντως Θεῷ· εὐχαῖς συντόνοις ἑνούμενος, καὶ ἀγρύπνοις στάσεσι, δακρύων τε, τοῖς ὀχετοῖς ὅλως ἁγνισθείς, καὶ λελαμπρυσμένος, τοῖς θείοις σου κατορθώμασιν, ὡς ἔλαφος διψῶσα· ἠρετίσω τοὺς τόπους· τοὺς ἁγίους, δοξάσαι τὸν Ἅγιον.

**Δόξα.**

Νοῦς τῷ νοΐ ἐνατενίζων γενόμενος, ἐλαμπρύνθης φωτισμῷ τοῦ Πνεύματος, Ἱερωσύνης τῇ δωρεᾷ, τῇ φρικτῇ ὡς σκεῦος, τῆς ἀρετῆς ὑπερθαύμαστον, θυσίας ἀναφέρων, ἀναιμάκτους τῷ Κτίστῃ, παραδόξως τῷ σὲ καταστέψαντι.

**Καὶ νῦν. Θεοτοκίον.**

Διὰ παντός, μὴ διαλίπῃς με σκέπουσα, σὲ γὰρ ἔχω μόνην, καταφύγιον, ἐν πειρασμοῖς ὑπερασπιστήν, ῥύστιν ἐν κινδύνοις, ἐν συμφοραῖς παραμύθιον, προστάτην ἐν ἀνάγκαις, εὐθυμίαν ἐν λύπαις, καὶ χαρὰν ἐν ταῖς θλίψεσι Δέσποινα.

**Καταβασία τοὺς δύω Εἱρμοὺς τῆς Ἑορτῆς.**

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ῥευστὴν καὶ εὐμάραντον, ἡγήσω Πάτερ τερπνότητα πᾶσαν τὴν τοῦ Κόσμου, ἀτενίσας, πρὸς τὴν ἀγάπην τοῦ Βασιλέως Χριστοῦ, νῦν δὲ τῆς ἀλή-

κτου χαρμονῆς, θείοις ἐν σκηνώμασιν ἐντρυφᾷς ἀγαλλόμενος.

Ιθύνεις πρὸς ἔνθεον, ὁλοσχερῶς Θεσπέσιε, ἔρωτα τὸ πνεῦμα σου νηστείαις, συντονωτάτοις καὶ ἐπιμόνοις εὐχαῖς, τοῦ τῆς ἀπαθείας ἀκλινῶς, κάλλους ἐφιέμενος, καὶ τῆς θείας ἐλλάμψεως.

Σεμνὸς καὶ ἡσύχιος, πιστὸς ἁγνός τε καὶ κόσμιος, ὅσιος καὶ πρᾷος καὶ ἀνδρεῖος, μέτριος, σώφρων καὶ ἀνεπίληπτος, ὤφθης τῆς Τριάδος γεγονώς, θεῖον οἰκητήριον, καὶ τῆς χάριτος ὄργανον.

Γεράσιμε Ὅσιε, ἡμῶν τῶν δεομένων σου, δέξαι τὰς αἰτήσεις ἐν ἡμέρᾳ, τῶν πειρασμῶν τε, καὶ περιστάσεων, θλίψεων παντοίων τε δεινῶν, καὶ θερμῶς προσάγαγε, τῷ τῶν ὅλων Δεσπόζοντι.

**Ἄλλος. Ἵνα τί με ἀπώσω.**

Υμνητὴς χρηματίσας, θείοις ἀπαυγάσμασι, καὶ πρὸς τὸ Σίναιον, χαίρων ἀνυψώθης, ὡς ὑπόπτερος χάριτι ἔνδοξε, ἵνα σοῦ τὸν πόθον, πόθῳ προσθεὶς τὴν πρὸς τὰ θεῖα, ἐνισχύσῃς Γεράσιμε ἔφεσιν.

Μυηθεὶς ἀπορρήτως, τὴν πρὸς τὰ Οὐράνια ἔνθεον ὕψωσιν τὴν Μωσέως χάριν, Ἠλιού τε πλουσίως ἀπείληφας, ἐν τῷ Ἰορδάνῃ, θαυμαστωθεὶς τῇ τοῦ Δεσπότου, παραδόξῳ νηστείᾳ πανόλβιε



**Δόξα.**

Νοῦς ὁρῶν ὤφθης Μάκαρ, τὸν ταῖς ἐπιλάμψεσι ψυχὰς αὐγάζοντα, καὶ σπηλαίοις μόνος, ἀπαθείᾳ ηὐλίσθης γενόμενος, ὀπαδὸς Προδρόμου, Θεοδοσίου τε νηστείας φοιτητής, μιμητής τε Γεράσιμε.

**Καὶ νῦν. Θεοτοκίον.**

Παρρησίαν μεγίστην, πρὸς τὸν ἐκ λαγόνων σου τεχθέντα Κύριον, κεκτημένη Κόρη, ὅσα θέλεις ἀνύεις ἑκάστοτε, καὶ ἰσχύεις πάντα, Παντοδυνάμου Θεοῦ Μήτηρ, διὸ θέλησον μόνον καὶ σώσεις με.

**Καταβασία. Οἱ δύω Εἰρμοὶ τῆς Ἑορτῆς.**

**Ὠδὴ ς΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.**

Τὴν χάριν ὄντως θαυμάζομεν, τὴν ἄλλον Μωϋσῆν ἀναδείξασαν, καὶ σὲ Γεράσιμε, καὶ γὰρ καὶ σὺ τεσσαράκοντα νυχθημερῶν νηστείαν σαφῶς διήνυσας.

Αὐχμὸν τῆς γῆς ἔτι ζῶντος σου, ταχέως σαῖς εὐχαῖς λύεις ἔνδοξε, καὶ μετὰ θάνατον, ἐξάγεις φρέατος γύναιον, καταπεσὸν ὠθήσει τῇ τοῦ ἀλάστορος.

Αφθάρτου δόξης Γεράσιμε, καρποὺς θεοτερπεῖς ζῶν ἐξήνθησας, θανὼν δὲ ἄφθαρτος ψυχῇ τε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ζῆς καὶ τῷ σώματι, ἐν Οὐρανῷ καὶ γῇ τε στέφει κοσμούμενος.

Πεποικιλμένος τῇ χάριτι, ποικίλων συμφορῶν ἐλευθέρωσον, θεῖε Γεράσιμε, τὴν Νῆσον ταύτην, ἣ κέκτηται, τὸ ὄνομά σου Πάτερ μέγιστον καύχημα.

**Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.**

Ο τὴν στολὴν τοῦ φωτός, καὶ τὴν δι' ἔργων εὐπρέπειαν, περιβολὴν σεαυτῷ, λαμπρὰν περιθέμενος, τοῦ Κόσμου φῶς γέγονας, καὶ τῆς γῆς τὸ ἅλας, ὡς Χριστοῦ θεράπων γνήσιος.

Νοήμων σὺ γεγονώς, σαυτὸν Χριστῷ καθιερώσας, καὶ πάσας τὰς ἀρετάς, γενναίως κατώρθωσας, διὸ σὲ ἐδόξασεν ὁ Δεσπότης πάντων, ὡς πιστῶς αὐτὸν δοξάσαντα.

**Δόξα.**

Ὁλολαμπῆ δωρεαῖς, παγχρύσοις ὄντα Γεράσιμε, ὡς θησαυρὸν ὁ Θεός, δι' ἄφατον ἔλεος, ἡμῖν σὲ ἀπέστειλε, διὸ γεγηθότες, ὕμνοις τοῦτον μεγαλύνομεν.

**Καὶ νῦν. Θεοτοκίον.**

Νενεκρωμένον πολλαῖς, Παρθένε μὲ παραβάσεσιν, ἡ τὴν ζωὴν τοῖς βροτοῖς, ἀρρήτως



κυήσασα, Θεοτόκε ζώωσον, καὶ ποιεῖν Κυρίου, τὰ θελήματα ἐνίσχυσον.

**Καταβασία. Οἱ δύω Εἱρμοὶ τῆς Ἑορτῆς.**

**Ἦχος γ'. Κοντάκιον. Ἡ Παρθένος σήμερον.**

Σκέπε φρούρει φύλαττε, ἀπὸ παντοίων κινδύνων, τὴν σὴν Νῆσον Ὅσιε, σαῖς εὐπροσδέκτοις πρεσβείαις. Ἄσυλον γαρ θησαυρόν σε πλουτησαμένη, πρόμαχον, θερμὸν σὲ ἔχει ἀγαλλομένη: διὰ τοῦτο καὶ βοᾷ σοι, καύχημα χαίροις ἐμὸν Γεράσιμε.

**Ἦχος πλ. δ'. Ἕτερον. Τῇ ὑπερμάχῳ στρατηγῷ.**

Ὡς ἀντιλήπτωρ καὶ θερμὸς προστάτης ἔνδοξε, ἀεὶ προφθάνεις βοηθὸς ἐν περιστάσεσι. Διὸ ᾄσμασι Γεράσιμε Θεοφόρε, εὐφημοῦμεν σε πιστῶς καὶ ἐπιγράφομεν, τῆς σῆς Νήσου, τὸν προστάτην συμπαθέστατον, ἀνακράζοντες: Χαίροις Πάτερ ἀοίδιμε.

**Ὁ οἶκος.**

Εὐφρανθῶμεν ἐνθέως ἐν τῇ πανσέπτῳ, καὶ χαρμοσύνῳ Ἑορτῇ τοῦ Νεοφανέντος Ὁσίου, καὶ πόθῳ πρὸς αὐτὸν ἐκβοήσωμεν: Θεοδόξαστε Πάτερ, καὶ Θεοφόρε Γεράσιμε, ὁ τὴν ἀγγελικὴν πολιτείαν πανσόφως ἐν τῇ γῇ μετελθών, καὶ τὸ στέφος ἐν Οὐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρανῷ δεξάμενος παρὰ Θεοῦ, καὶ τῇ ἀφθαρσίᾳ τοῦ σώματος θείᾳ χάριτι λαμπρυνθείς, ρῦσαι πρεσβείαις σου τὴν Μονήν, καὶ τὴν Νῆσον σου πάσης ἐπηρείας τε καὶ κακώσεως· καὶ τῆς ἐνεστώσης ἀνάγκης ἐλευθέρωσον. Ἑκατέρα γάρ σε θερμότατον κεκτημένη προστάτην, οὐ παύει τοῦ βοᾶν σοι: Χαίροις Πάτερ ἀοίδιμε.

**Μηνὶ Αὐγούστῳ ις΄.**

**Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου τοῦ Νέου Ἀσκητοῦ, καὶ Προστάτου Κεφαλληνίας.**

**Στίχ. Γέρα πρέπουσι Γερασίμῳ τῷ Νέῳ.**

**Τῷ τοῖς γέρασι τῶν παλαιῶν στεφθέντι.**

Οὗτος ὁ Ὅσιος καὶ νεοφανὴς ἀστὴρ Γεράσιμος ἐκ τῆς περιφήμου Πελοποννήσου ἀνέτειλεν ἐξορμώμενος, ἐκ κώμης λεγομένης Τρίκκης, κατὰ δὲ τὴν κοινὴν συνήθειαν Τρίκκαλα. Τούτου δὲ γονεῖς εὐσεβεῖς καὶ εὐγενεῖς καὶ πλούσιοι σφόδρα ἐτύγχανον· ὧν ὁ μὲν Πατὴρ Δημήτριος, ἡ δὲ Μήτηρ Καλὴ ὠνομάζοντο, τοὐπίκλην δὲ Νοταράδες. Γεννηθεὶς τοίνυν ὁ Μακάριος ἐξ αὐτῶν, εὐθὺς εἰς τὴν τῶν ἱερῶν γραμμάτων ἐκδίδοται μάθησιν· δεξιᾶς δὲ τυχὼν φύσεως, τὴν θείαν Γραφὴν ἐκπεπαίδευτο. Ἀπαναστὰς δὲ τῆς πατρίδος, τῇ τῆς Ζακύνθου νήσῳ ἐπιβαίνει, ἐν ᾗ διατρίψας ὀλίγον, ἔξεισι ταύτης, καὶ τὴν Ἑλλάδα πᾶσαν περινοστήσας, εἰς Θετταλίαν ἀφίκετο, εἶτ᾿ ἄνεισιν ἐκεῖθεν εἰς Εὔξεινον Πόντον, μεθ᾿ ὃν εἰς Βυζάντιον, καὶ Προποντίδα, καὶ Χαλκηδόνα, οὐχ ἥκιστα δέ, καὶ τὰ πέριξ τοῦ Βυζαντίου εἴασε περιελθὼν ἀνιστόρητά τε, καὶ ἀθεώρητα· κἀκεῖθεν ἀπάρας, τὸ Ἁγιώνυμον Ὄρος τοῦ Ἄθω καταλαμβάνει, ἔνθα τὰ κάλλιστα τῆς ἀρετῆς παρὰ τῶν ἐκεῖσε ἀσκουμένων Μοναχῶν ἀπεῤῥανίσατό τε, καὶ ἀπεδρέψατο. Διεγνωκὼς δὲ ἐκεῖθεν ἀπᾶραι, τοὺς ἱεροὺς καὶ σε-



βασμίους τόπους τῆς Ἱερουσαλὴμ καταλαμβάνει, προσκυνῆσαι καὶ αὐτοὺς ἐπειγόμενος. Ἔπειτα καὶ τὸ Ἅγιον Ὄρος τὸ Σίναιον, καὶ Ἀντιόχειαν, καὶ Ἀλεξάνδρειαν, καὶ Δαμασκόν, καὶ πᾶσαν τὴν Αἴγυπτον καὶ Λιβύην, καὶ τὴν Ἑώαν σχεδὸν πᾶσαν εἰπεῖν. Ἐν Ἱεροσολύμοις δὲ παροικήσας, χειροτονεῖται παρὰ τοῦ Ἁγιωτάτου, καὶ Μακαριωτάτου Πατριάρχου Κυρίου Γερμανοῦ, τοῦ τηνικαῦτα τὸν θρόνον τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου ἰθύνοντος, Ὑποδιάκονος, Διάκονος καὶ Πρεσβύτερος, πρότερον Κανδυλάπτης ἐν τῷ τῷ Ἁγίῳ Τάφῳ χρόνον ἕνα ποιήσας· ὑπηρέτησε δὲ κἂν τούτοις καὶ τῷ Ἁγιωτάτῳ Πατριάρχῃ ἔτη δώδεκα. Ἐποίησε δὲ καὶ ἐν τῷ Ἰορδάνῃ ποταμῷ τὸ τεσσαρακονθήμερον νῆστις διατελέσας, κατὰ μίμησιν τοῦ Χριστοῦ, καὶ αὖθις ἐπανῆλθεν εἰς τὸ Πατριαρχεῖον. Μὴ δυνηθεὶς δὲ ἐκεῖσε διαμεῖναι μέχρι τῆς αὐτοῦ βιοτῆς, ἔκδοσιν συγχωρήσεως παρὰ τοῦ Ἁγιωτάτου Πατριάρχου ᾐτήσατο ἀπελθεῖν ὅπῃ καὶ βούλοιτο. Ἔνθεν τοι ἀπάρας τὴν τῶν Κρητῶν νῆσον φθάσας ἀφῖκτο. Ταύτης δὲ ἐκβὰς εἰς Ζάκυνθον προσαποπλέει, ἐν ᾗ τὴν ἀσκητικὴν διαγωγὴν μετιὼν ἐν πέντε τοῖς ἔτεσι παρῳκηκώς, ὡς ἄσαρκος ἐν σαρκὶ ἠγωνίζετο τῇ θείᾳ δυνάμει ῥωννύμενος, ἐν οἷς χρόνοις τοῖς τῶν ἑβδομάδων μησὶν ἦν ἐσθίων ἄνευ ἅλατος κολοκύνθην, τὸν δὲ ἐπίλοιπον χρόνον ὄσπρια ἦν αὐτῷ ἡ τροφή, καὶ αὐτὰ ἄνευ ἄρτου, βεβρεγμένα· ὁ δὲ τόπος ἐν ᾧ ἠσκεῖτο ὁ Ἅγιος, σπήλαιον ἦν, ἐν ᾧ διῆγε μονώτατος. Ἀπῆρε δὲ ἐκεῖθεν, καὶ εἰς Κεφαλληνίαν τὴν ἀντικρὺ Ζακύνθου νῆσον διεπορθμεύσατο, ᾗ καὶ ἐπιβὰς ἕνδεκα μῆνας ἔν τινι τόπῳ Σπηλαία καλουμένῳ πρὸς τοῖς πέντε ἔτεσι παρῴκησε. Εἶτα προσαναβὰς εἰς τόπον τινὰ Ὁμαλᾶ ὀνομαζόμενον, πλησίον κωμοχώρων τυγχάνοντα, εὑρίσκει Ναόν τινα παλαιὸν ἐν αὐτῷ, ὅνπερ ἀνανεώσας ἐκ βάθρων, ᾠκοδόμησε τοῦτον, καὶ μετήγαγεν εἰς Μοναστήριον γυναικεῖον· ἐδείματο δὲ ἐν αὐτῷ καὶ οἰκίσκους καὶ κέλλας σὺν τῷ τούτων περιτειχίσματι· ἔνθα Κανονικὰς εἰκοσιπέντε τῷ ἀριθμῷ συναγήοχε, καὶ νέαν Ἱε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρουσαλὴμ τὸν Θεῖον Ναὸν ἐπωνόμασε, καὶ ὁσημέραι τὰς Μοναζούσας διετέλει διδάσκων τὴν πνευματικήν, καὶ ἰσάγγελον πολιτείαν. Ταύταις δὲ συνών, καὶ αὐλιζόμενος μεγάλους ἀγῶνας διὰ νηστείας, καὶ κακουχίας τοῦ σώματος, καὶ στάσεως ὁλονυκτίου ἐπεδείξατο. Ἔφθη δὲ διηνυκῶς καὶ ἐν τῇ ὑπ' αὐτοῦ οἰκοδομηθείσῃ Μονῇ καὶ ἐν ἄλλῳ τόπῳ πρὶν ἐκεῖσε ἐλθεῖν, χρόνους τριάκοντα, ἄρτου τὸ σύνολον μὴ γευσάμενος. Καθαγνίσας οὖν ἑαυτόν, καὶ δάκρυσι ποταμηδὸν ἀποπλύνας, καὶ ἐκκαθάρας, καὶ θαυμάτων χάριν παρὰ Θεοῦ εἰληφώς, τοῦ Ἁγίου Πνεύματος γέγονε καταγώγιον, οὗ τῇ ἐπιλάμψει καὶ αἴγλῃ, ἀνομβρίας οὔσης, ὕδωρ διὰ προσευχῆς καταγαγών, ἱκανῶς τὴν γῆν κατήρδευσεν· ἔτι δὲ καὶ δαιμονῶντας ἰάσατο, καὶ ἀσθενοῦσι τὴν ῥῶσιν ἐχαρίσατο. Φθάσας δὲ εἰς βαθύτατον γῆρας, καὶ πολλῶν θαυμάτων πλήρης γενόμενος, καὶ γνοὺς τὴν αὐτοῦ τελευτὴν πρὸ ἡμερῶν, καὶ τὰς Μοναστρίας συγκαλεσάμενος, καὶ αὐταῖς συνταξάμενος, καὶ κατηχήσας αὐτάς, καὶ συγχώρησιν παρ' αὐτῶν ἐξαιτήσας, καὶ ἐπευλογήσας αὐτάς, καὶ πᾶσι Χριστιανοῖς τὴν τελείαν συγχώρησιν δεδωκώς, καὶ ἐπευξάμενος τῷ Θεῷ, τὸ πνεῦμα παρέθετο· ζήσας δὲ τὰ πάντα ἔτη ἑβδομήκοντα καὶ μικρόν τι πρός. Ἔζησε δὲ ἐξότου εἰς τὴν Μονὴν ἀφίκετο ἐνιαυτοὺς δέκα πρὸς τοῖς ἐννέα· τοὺς δὲ λοιποὺς τῇδε κἀκεῖσε περινοστῶν διετέλεσεν, ὡς ἔφημεν ἀνωτέρω. Τὰ δὲ ἄλλα θαύματα, καὶ τὰς ἐν γῇ, αὐτοῦ ἔτι ζῶντος, παλαίστρας, καὶ ἀριστείας, καὶ ἀγρυπνίας, καὶ κατατήξεις τοῦ σώματος, καὶ τὰς δακρύων πηγάς, καὶ ἐπιρροάς, καὶ πρὸς τοὺς ὑπεναντίους ἀγῶνας, καὶ παρατάξεις, ἀδύνατον γραφῇ παραδοῦναι. Ἐκοιμήθη δὲ ὁ Ἅγιος οὗτος Γεράσιμος ἐν ἔτει τῆς ἐνσάρκου τοῦ Σωτῆρος ἡμῶν Οἰκονομίας χιλιοστῷ πεντακοσιοστῷ ἑβδομηκοστῷ ἐνάτῳ (1579) Αὐγούστου δεκάτῃ πέμπτῃ (15). Ἀλλ' ἐπειδὴ ἐν ταύτῃ τῇ ἡμέρᾳ ἑορτάζεται καὶ ἡ τῆς Θεομήτορος Μετάστασις, διὰ τοῦτο ἡ τοῦ Ἁγίου τοῦδε μνήμη μετετέθη τῇ εἰκοστῇ (20) τοῦ Ὀκτωβρίου Μηνός, ἐν ᾗ καὶ ἡ Ἀνακομιδὴ τοῦ Λειψά-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



νου αὐτοῦ γέγονε παρὰ τοῦ Πατριαρχικοῦ Ἐξάρχου, ἐπὶ Ἱερεμίου, τοῦ τηνικαῦτα τὸν Ἀποστολικὸν τῆς Κωνσταντινουπόλεως διϊθύνοντος Θρόνον. Τὰ δὲ μετὰ τὸν θάνατον αὐτοῦ θαύματα, ἃ τὸ Ἱερὸν αὐτοῦ Λείψανον ὅσαι ὧραι τυγχάνον ἐκτελεῖ, ἀφίημι ταῦτα λέγειν, καὶ ἐπεκδιηγεῖσθαι πάμπολλα ὄντα· ἑνὸς δ' ὅμως ἀξιομνημονεύτου μνημονεύσαντες, τὰ λοιπὰ καταλείψομεν.

Γυνή τις διατρίβουσα ἐν τῇ Μονῇ, χάριν θεραπείας, ἐκ δαιμονικῆς ἐνεργείας εἰς τὸ ἐκεῖσε φρέαρ κατήχθη, καὶ ἀνήχθη ἀβλαβής, τοῦ Ἁγίου ἐπιφανέντος αὐτῇ, καὶ βαστάζοντος ταύτην, οὗ καὶ τὴν φωνὴν τὴν συνήθη ἀκούσασαι αἱ Κανονικαί, νυκτὸς οὔσης, ἠγέρθησαν κύκλῳ περισκοπούμεναι, εἴπου φωνῆς αὖθις τῆς τοῦ Ἁγίου ἀκούσαιεν· ἐκζητήσασαι δέ, καὶ τὴν γυναῖκα εὑρεῖν ἐν ᾧ τόπῳ κατῴκει, οὐχ εὗρον. δαίμονι γὰρ ἦν κάτοχος ἡ γυνή· μὴ εὑροῦσαι δὲ τὸ παράπαν αὐτήν, παρακύπτουσι, εἰς τὸ ἐκεῖ πλησίον φρέαρ ἰδεῖν μήπου ἐξ ἐπηρείας τοῦ δαίμονος καταπέπτωκε· παρακύψασαι δέ, ὁρῶσιν αὐτὴν ἐπιφερομένην τοῖς ὕδασιν, ὥσπερ τινὸς ταύτην ἀοράτως βαστάζοντος· ἐξαγαγοῦσαι δὲ ταύτην τοῦ φρέατος, ἔμαθον παρ' αὐτῆς, ὅτι ὁ Ἅγιος ἐπιφανεὶς ταύτην ἐβάσταζεν, οὗ καὶ τῆς ἡδίστης καὶ γλυκείας φωνῆς αὐτήκοοι ἐγένοντο αἱ Μονάστριαι, αἵτινες τὸ παράδοξον τοῦτο θεασάμεναι, δόξαν τῷ πάντων Σωτῆρι Θεῷ, καὶ τῷ Ἁγίῳ ἀνέπεμψαν, τῷ ἀντιδοξασθέντι ὑπὸ τοῦ δοξάσαντος αὐτὸν μεγάλου Θεοῦ, ζῶντι καὶ τεθνεῶτι.

Εἰσὶ δὲ καὶ ἕτερ' ἄττα πλεῖστα, ὡς προείρηταί μοι, τὰ τοῦ Ἁγίου θαύματα, καὶ τεράστια· διὰ δὲ τὸ πλῆθος, τοῦτο μόνον ὡς ἀναγκαῖον εἰς μέσον καὶ μνήμην παρήχθη, τὰ δὲ ἄλλα παρελείφθησαν, τοῦτο μέν, ὅτι τοῖς πιστεύουσιν ἱκανόν ἐστιν ἐξ ὄνυχος τὸν λέοντα εἰκάσαι· τοῦτο δέ, ὅτι τοῖς ἀπιστοῦσιν, οὐδ' ὅλος ὁ λέων φαινόμενος πείσειεν· τοῖς δὲ ἀμφιβάλλουσι τῷ τοῦ Ἁγίου Λειψάνῳ προσίτωσαν, καὶ ὄψονται οὐ μόνον σῶμα ἄφθαρτόν τε καὶ ἀκέραιον, ἀλλὰ καὶ πάσης

εὐωδίας ἀνάμεστον, καὶ ἰαμάτων πηγὴν ἀνεξάντλητον ἔχον. Ἦν δὲ ὁ Ἅγιος κατὰ τὴν ἰδέαν τοῦ σώματος, ὅμοιος τῷ Ἁγίῳ Θεοδοσίῳ τῷ Κοινοβιάρχῃ, πλὴν τοῦ γενείου, ὑπεξάνθιζε γὰρ κατὰ τὸν πώγωνα ὁ Ἅγιος οὗτος, οὗ ταῖς εὐπροσδέκτοις πρεσβείαις, καὶ πρὸς Θεὸν ἱκεσίαις διαφυλαχθείησαν οἱ τὴν μνήμην αὐτοῦ θείαν καὶ ἱερὰν ἐκτελοῦντες μεγαλώνυμοι, καὶ μονάζοντες, καὶ αἱ Κανονικαὶ αὐτοῦ Μονάστριαι, καὶ πνευματικαὶ αὐτοῦ Μαθήτριαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.**

Σωτηρίας αἰωνίου, τὴν ἀπόλαυσιν δεικνύων Ὅσιε, φωτολαμπέσιν αὐγαῖς, ἐνθέων σου πράξεων, καὶ ἰσαγγέλου ζωῆς, χαίρων ἔψαλλες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Κροτησάτωσαν· Μονάζοντες τῷ Πνεύματι, καὶ ἡ ὁμήγυρις τῶν Ἱερέων τερπνῶς, καὶ σὲ δοξαζέτωσαν, Θεῖε Γεράσιμε, ὡς πλουτοῦντές σε, καύχημά τε καὶ κλέος καὶ κανόνα εὐσεβείας.

Ἠστραψάν σου Θεοφόρε τὰ παλαίσματα, δι' ὧν ἐπέλαμψας, Θεοῦ δοχεῖον σεπτόν, ἐπίγειος Ἄγγελος, βροτὸς Οὐράνιος· καὶ γὰρ ἄσαρκον, σοῦ τὴν ζωὴν διήνυσας ἐν ἐρήμοις καὶ σπηλαίοις.

Τὴν σωτήριον, βοήθειαν Θεόληπτε τὴν σὴν αἰτούμεθα, καταπεμφθῆναι ἡμῖν, ἐν ὥρᾳ τῶν θλίψεων ἡνίκα ταύτης πιστῶς, σοῦ δεόμεθα, Θαυματουργὲ Γεράσιμε, δεομένων ὁ προστάτης.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.**

Δῶρον δοθέν μοι Οὐρανόθεν, Πάτερ ἔγνων σε, ἡ Νῆσός σου βοᾷ σοι, χαρμοσύνως διὸ Θεόπεμπτον κηρύττω, τὴν ἔλευσίν σου Ὅσιε, καὶ δοξάζω τὸν δοτῆρα.

Ὅλῃ στοργῇ καὶ διαθέσει, μεγαλύνω σε Γεράσιμε Τρισμάκαρ· εὐλογίαν μοι γάρ, κομίζειν ἀπεστάλης, ὡς Ἀβραὰμ ὁ δίκαιος, Ἰωσήφ, καὶ Ἐλισσαῖος.

**Δόξα.**

Ὕμνον παννύχιον προσφέρω, κεκτημένη σε θερμότατον προστάτην, καὶ δοξάζω θερμῶς τὸν Κύριον τῆς δόξης, τὸν σὲ θαυμάτων χάριτι καταστέψαντα Θεόφρον.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἤνοιξας πύλας Παραδείσου, ἃς ἀπέκλεισεν ἀνθρώποις ἡ προμήτωρ, Θεομῆτορ, διὸ κἀμοὶ τῆς μετανοίας, ἄνοιξον πύλας, Πύλην μοι, ἀνοιγούσας Παραδείσου.

**Καταβασία. Οἱ δύω Εἱρμοὶ τῆς Ἑορτῆς.**

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.**

Τίς μὴ ἐκπλαγείη τοὺς ἀγῶνας, τοὺς μόχθους τὰς κακουχίας τοῦ σοῦ σώματος, οἷς περ ἀγαλ-

λόμενος, μόνης ἐπεπόθησας, τῆς φεγγοβόλου λάμψεως τοῦ Θείου Πνεύματος, τὸν Κύριον δοξάζων ἀπαύστως, τὸν δοξάσαντά σε τῷ στέφει ἀφθαρσίας.

Ηρως ἐκ τῶν ἔργων ἀπεφάνθης, ἐν σοὶ σκηνωσάσης θείας χάριτος, ὅθεν θεραπεύονται πάθη τὰ δυσίατα, δαιμόνων τε ἐπήρεια ἀποδιώκεται, Γεράσιμε, διὸ σὲ ὑμνοῦμεν, καὶ δοξολογοῦμεν τὴν πάνσεπτόν σου μνήμην.

Σκεῦος ἐκλογῆς σεπτὸν ἐδείχθης, τὴν ἄνω φαιδρῶς λαμπρότητα δεξάμενος, καὶ πρὸς τὰ σκηνώματα, θεῖα, καὶ οὐράνια, περιχαρῶς ἀνέδραμες, καταστραπτόμενος, τῇ χάριτι τῆς θείας Τριάδος, ὕμνοις ἣν δοξάζεις εἰς πάντας τοὺς αἰῶνας.

Κηρύττομεν πάντες χαρμοσύνως, Θεόπεμπτον ἀληθῶς σὴν Μάκαρ ἔλευσιν, ὤφθης γὰρ σωτήριος, ἐν ταῖς περιστάσεσι, τῶν συμφορῶν καὶ θλίψεων, ταῖς σαῖς ἐντεύξεσι πρὸς Κύριον, ὃν νῦν μὴ ἐκλείπῃς, δυσωπεῖν ἀπαύστως ἡμᾶς ἐλεηθῆναι.

**Ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.**

Λαοῦ λύπην ἠφάνισας, εὐχῇ σου ἀνομβρίαν λύσας σῇ Μάκαρ παρρησίᾳ, πρὸς τὸν Θεὸν Γεράσιμε Θεόληπτε, Κύριον δοξάζων, καὶ δεδοξασμένος φανεὶς παρὰ Κυρίου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ο τῇ αἴγλῃ τοῦ Πνεύματος ἀστράψας, τὸ εἰς φρέαρ πεσὸν τοῦ δαίμονος ὠθήσει, ὡς ἀντιλήπτωρ, γύναιον ἐξήγαγες, Κύριον δοξάζων, καὶ δεδοξασμένος φανεὶς παρὰ Κυρίου.

**Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα.**

Σωτὴρ ὤφθης, δεινῶν λοιμοῦ κινδύνων, τὴν σὴν Νῆσον ὄντως ἐκλυτρούμενος, καὶ πατρικὴν συμπάθειαν πιστούμενος, Κύριον δοξάζων, καὶ δεδοξασμένος φανεὶς παρὰ Κυρίου.

**Καὶ νῦν. Θεοτοκίον.**

Υμνον δέχου ἀνάγνων ἐκ χειλέων, Θεοτόκε ἁγνή, καὶ ῥῦσαί με κινδύνων, καὶ μολυσμοῦ τοῦ σώματος Ἀμόλυντε, καὶ καθάρισόν με τὸν μεμολυσμένον, παντοίαις ἁμαρτίαις.

**Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον καὶ Καταβασία. Οἱ δύω Εἱρμοὶ τῆς Ἑορτῆς.**

**Καὶ εὐθὺς ψάλλεται ἡ Τιμιωτέρα.**

**Εἶτα Ὠδὴ θ΄. Ἅπας γηγενής.**

**Στέψωμεν τοῖς ᾄσμασιν ἐγκωμίων, τὸν ῥύστην ἐν ταῖς θλίψεσι καὶ ἐν κινδύνοις προστάτην, πόθῳ αὐτὸν εὐφημοῦντες.**

Νέου Ἀσκητοῦ, τὸ Σκῆνος φιλέορτοι κατασπαζόμενοι, δεῦτε ἀγαλλίασιν, ἐνθέῳ πόθῳ ἀπαρυσώμεθα, ὡς θησαυρὸν πλουτήσαντες τοῦτο, καὶ

κράξωμεν ὁλοψύχως, σκέπε ἡμᾶς πάντοτε, ταῖς πρεσβείαις σου, θεῖε Γεράσιμε.

**Στέψωμεν τοῖς ᾄσμασιν ἐγκωμίων, τὸν ρύστην ἐν ταῖς θλίψεσι καὶ ἐν κινδύνοις προστάτην, πόθῳ αὐτὸν εὐφημοῦντες.**

Ἔθετο Θεός, σὲ ὄντως τῆς πίστεως, ὡς ἀδιάσειστον, στύλον καὶ ἑδραίωμα, καιροῖς ἐσχάτοις κατ' ἐχθρῶν Ὅσιε, Σκῆνος σεπτὸν καὶ θεῖον σου, λίθον προσκόμματος, ἐναντίοις δούς, ὁμολογίαν τε ἐνισχύων ἀεὶ τὴν Ὀρθόδοξον.

**Στέψωμεν τοῖς ᾄσμασιν ἐγκωμίων, τὸν ρύστην ἐν ταῖς θλίψεσι καὶ ἐν κινδύνοις προστάτην, πόθῳ αὐτὸν εὐφημοῦντες.**

Ὅλη νῦν θερμῶς, ἡ Νῆσος σου κράζει σοι, φύλαξ σωτήριε, φρούρει με ἀπήμονα, λοιμοῦ κινδύνων σεισμοῦ κακώσεως, σαῖς προσευχαῖς Γεράσιμε, ταῖς εὐπροσδέκτοις Θεῷ, καὶ προστάτης φάνηθι θερμότατος, τοῖς πιστῶς ἀνυμνοῦσι σε Ὅσιε.

**Στέψωμεν τοῖς ᾄσμασιν ἐγκωμίων, τὸν ρύστην ἐν ταῖς θλίψεσι καὶ ἐν κινδύνοις προστάτην, πόθῳ αὐτὸν εὐφημοῦντες.**

Πάντας τοὺς τὴν σήν, τελοῦντας Γεράσιμε μνήμην πανίερον, λύτρωσαι πρεσβείαις σου, κινδύνων νόσων πάσης κακώσεως, ὡς ρύστης τῶν ἐν



θλίψεσι λιτανευόντων σε, καὶ τὴν Νῆσον ταύτην σὺν τῇ ποίμνῃ σου, βλάβης ἀλώβητον τήρησον.

**Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός,**
**Γεράσιμον ἐν ὕμνοις τὸν νεοφανέντα δοξάσωμεν ἐνθέως.**

Σὲ πάντες μεγαλύνομεν εὐσεβῶς, τὰ σεπτά σου δοξάζοντες θαύματα, τὰς ἀρετάς, καὶ τὰ κατορθώματα τὰ λαμπρά, καὶ τοὺς ἀγῶνας, Ἅγιε οὕσπερ ἐξελέξω διὰ Χριστόν· διὸ νῦν Θεοφόρε, Γεράσιμε παράσχου, σοῖς ὑμνηταῖς τὴν προστασίαν σου.

**Γεράσιμον ἐν ὕμνοις τὸν νεοφανέντα δοξάσωμεν ἐνθέως.**

Ὀσμῆς καὶ εὐφροσύνης πνευματικῆς, τῷ σεπτῷ σου λειψάνῳ ἱστάμενοι πανευλαβῶς, θείαν προσλαμβάνομεν δωρεάν, καὶ σοῦ τὴν πανευφρόσυνον μνήνην ἐκτελοῦμεν περιχαρῶς· διὸ σε Θεοφόρε Γεράσιμε αἰτοῦμεν, σκέπε καὶ φρούρει τοὺς ὑμνοῦντάς σε.

**Ἐν πίστει προσκυνοῦμεν τῆς Τρισυποστάτου Θεότητος τὸ Κράτος.**

**Δόξα.**

Ὑπέρμαχον προστάτην καὶ βοηθόν, καὶ φρουρὸν ἀντιλήπτορα καὶ ἰατρόν, σὲ πλουτισαμένη χαρμονικῶς, ὡς θησαυρὸν ὑπέρτιμον, κόλποις περιφέρω ἐν τοῖς ἐμοῖς, Γεράσιμε παμμάκαρ, ἡ Νῆσος σου βοᾷ σοι, ἣν περιφρούρει ταῖς πρεσβείαις σου.

**Ἐν πίστει ἀνυμνοῦμεν τὴν Ἁγνὴν Παρθένον καὶ μόνην Θεοτόκον.**

**Καὶ νῦν.**

Παράδοξον εἰργάσω πρᾶγμα Σεμνή, τὸν σὸν Πλάστην τεκοῦσα καὶ Κύριον, πρᾶξον καὶ νῦν ἕτε-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΤΗΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ρον τεράστιον ἐν ἐμοί, ἁμαρτωλὸν κατάκριτον, οἴκτειρον ἐλέησον εὐμενῶς, καὶ σῶσον φιλανθρώπως, ὡς Μήτηρ φιλανθρώπου, φιλανθρωπίας τὸν ἀνάξιον.

**Καταβασία. Οἱ δύω Εἱρμοὶ τῆς Ἑορτῆς.**

**Ἐξαποστειλάριον. Ἀπόστολοι ἐκ περάτων.**

Ὁ σύλλογος Μοναζόντων, τῶν Ἱερέων ὁ χορός, καὶ ἡ πληθὺς φιλεόρτων, Θεῖον Γεράσιμον φαιδρῶς, τὸ νεοστήρικτον κλέος, ᾠδαῖς ὑμνήσωμεν πάντες.

**Ὅμοιον.**

Τὸ Σκῆνός σου Θεοφόρε, τὸ δοξασθὲν παρὰ Θεοῦ, καὶ ἀρετῶν θεῖον σκεῦος, καὶ θαυματόβρυτον δοθέν, σέβομεν πόθῳ τελοῦντες, τὴν σεβασμίαν σου μνήμην.

**Ὅμοιον.**

Ὑπέρμαχον ἐν κινδύνοις, καὶ ἀντιλήπτορα θερμόν, ἐν θλίψεσι Θεοφόρε, Γεράσιμε καὶ προστάτην, πρὸς τὸν Θεόν σε πλουτοῦντες, τὸν Στεφοδότην ὑμνοῦμεν.

**Καὶ τῆς Ἑορτῆς.**

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεσθημανῆ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ Σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν. Στίχ. δ´ καὶ ψάλλομεν**

**Στιχηρὰ προσόμοια, Ἦχος πλ. δ´.**

**Ὢ τοῦ παραδόξου θαύματος.**

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ κ.τ.λ.**

Πάτερ Θεόφρον Γεράσιμε, τῆς ἰσαγγέλου ζωῆς, τὸ νεόσδοτον δώρημα, καὶ τὸ νεοκόσμητον μοναζόντων θησαύρισμα, τῶν Ἀσκητῶν τε, τὸ νεοστήρικτον καύχημα πέλων, πάντας πρὸς αἴνεσιν, τοῦ σὲ δοξάσαντος, προσκαλεῖς Θεσπέσιε, διὸ τὴν σήν, μνήμην ἑορτάζοντας, ἡμᾶς περίσωζε.



**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος κ.τ.λ.**

Πάτερ Θεόφρον Γεράσιμε, τῆς ἀρετῆς ἐραστής, γεγονώς, ὤφθης ἅπασι, δωρεῶν Πνεύματος ἱερὸν οἰκτητήριον· κατορθωμάτων, θαῦμα ἐξαίσιον, προτερημάτων, θησαυρὸς μέγιστος· ὅθεν τελοῦμέν σου, ἐν ᾠδαῖς νῦν χαίροντες, πανευλαβῶς, τὴν ἡμᾶς εὐφραίνουσαν θείαν πανήγυριν.

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ κ.τ.λ.**

Ὅσιε Πάτερ Γεράσιμε, σὲ καὶ προστάτην θερμόν, καὶ ὑπέρμαχον ἔχομεν, ἐν κινδύνοις πάντοτε, πρὸς Θεὸν τὸν φιλάνθρωπον· διό σου Σκῆνος, τὸ θαυματόβρυτον, περικυκλοῦντες, καθικετεύομεν, πρόφθασον Ἅγιε, τῶν δεινῶν καὶ θλίψεων, ῥῦσαι ἡμᾶς, τοὺς προσκαλουμένους σε, θερμῶς ἑκάστοτε.

**Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις κ.τ.λ.**

Ὅσιε Πάτερ Γεράσιμε, ἐναπεφάνθης φωστήρ, Ἐκκλησίας νεόδμητος, ἀρετῶν φαιδρότητι, καὶ θαυμάτων λαμπρότητι, ὡς τοῦ Ἁγίου Πνεύματος ὄργανον, ὡς τοῦ Δεσπότου θεράπων γνήσιος, σκεῦος ὡς τίμιον, χάριτος θεσπέσιε τῆς τοῦ Θεοῦ, ὡς χρυσίον δόκιμον τῆς Ἁγιότητος.

**Δόξα. Ἦχος πλ. α´.**

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πανσέπτῳ πανηγύρει τοῦ Θεοφόρου Πατρός. Ἱερεῖς, Μονάζοντες καὶ φιλέορτοι, τὸν Νεοφανέντα κροτήσωμεν ἐν ὕμνοις, ὡς χαρίτων ἔμπλεων, θαυμαστῶς γεγενημένων, καὶ οὐρανίων δωρεῶν τῶν τοῦ Πνεύματος· ἐπαίνων τοῖς ἄνθεσι, τὸν τῆς σεπτῆς Τριάδος, πιστὸν ἱερομύστην, συνελθόντες καταστέψωμεν. Τὸν ἀσκήσεως ὁδηγόν, πρὸς ἀρετὴν ἐπισπῶντα, τὸν Εὐαγγελίου ἐργάτην, τελειότητι τῆς ζωῆς, τὴν τῆς χάριτος στολὴν κεκοσμημένον· τὸν τοῦ Δεσπότου γνήσιον δοῦλον· τὸν θησαυρὸν τὸν ἀεὶ πλουτίζοντα· τὸν πάντας ἐκ τῶν δεινῶν ἀεὶ λυτρούμενον, θεόσδοτον προστάτην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν, Θεόληπτε Γεράσιμε, πρόφθασον ἐξελοῦ ἡμᾶς τῆς ἐνεστώσης ἀνάγκης, καὶ ῥῦσαι τὴν Νῆσόν σου πάσης κακώσεως.

**Καὶ νῦν. Τῆς Ἑορτῆς, ὁ αὐτός.**

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος, ἄνευ σπορᾶς ἀνατίθησιν, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ Οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

**Δοξολογία Μεγάλη κ.τ.λ.**

**Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ᾠδὴ γ´ καὶ ἐκ τοῦ Ἁγίου ἡ ς´.**

**Ἀπόστολος καὶ Εὐαγγέλιον. Ζήτει εἰς τὴν ἑορτὴν τοῦ Ὀκτωβρίου. Ὁμοίως καὶ μεγαλυνάρια καὶ Κοινωνικόν.**

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΓΕΡΑΣΙΜΟΥ

ΤΟΥ ΝΕΟΥ ΑΣΚΗΤΟΥ

ΤΟΥ ΕΝ ΤΗ͂Ι ΝΗΣΩ͂Ι ΚΕΦΑΛΛΗΝΙΑ͂Ι

ΨΑΛΛΟΜΕΝΗ ΤΗ͂Ι Κ´ ΟΚΤΩΒΡΙΟΥ

ΕΠΙ ΤΗ͂Ι ΑΝΑΚΟΜΙΔΗ͂Ι ΤΟΥ ΘΑΥΜΑΤΟΒΡΥΤΟΥ ΛΕΙΨΑΝΟΥ ΤΟΥ

---

ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

**Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχ. δ´ καὶ ψάλλομεν**

**Στιχηρὰ προσόμοια.**

**Ἦχ. α´. Τῶν Οὐρανίων Ταγμάτων τὸ ἀγαλλίαμα.**

Τῶν Μοναστῶν ποδηγέτης, καὶ Ἀσκητῶν ἡ κρηπίς, τὸ τῆς Πελοποννήσου ἐγκαλλώπισμα θεῖον, Γεράσιμος ὁ μέγας, ὁ νῦν παρ' ἡμῶν εὐφημούμενος ἄριστα, πρόκειται γὰρ πανδαισία πνευματική, τοῖς πιστοῖς πᾶσιν ἀκόρεστος.

Δεῦτε, χορὸς τῶν ἀζύγων, καὶ Μοναστῶν ἡ πληθύς, ἐν τῇ Μονῇ τῇ Θείᾳ, Ὁμαλῶν ἔνθα κεῖται, τὸ Σκῆνος τοῦ Ὁσίου τὸ θαυμαστόν, Γερασίμου καὶ πάνσεπτον, καὶ δαψιλῶς ἐμφορεῖσθε τῶν ἐξ αὐτοῦ, τεραστίων τὰ παράδοξα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐπὶ τῆς γῆς ἀμυθήτους Μάκαρ διήνυσας, ὡς ἀληθῶς ἀγῶνας, δυναμούμενος σθένει, ἄνωθεν τοῦ πάντων προνοητοῦ, τοῦ καὶ σὲ ἀναδείξαντος, ἐν τοῖς καιροῖς τοῖς ἐσχάτοις, ὡς ἀληθῶς εὐσεβείας εἰς ἀπόδειξιν.

Τῶν Κεφαλλήνων προστάτης, καὶ Ὀρθοδόξων κρηπίς· σὺ ἐκ Θεοῦ ἐδόθης, ὦ Γεράσιμε ὄντως. Φάνηθι οὖν Μάκαρ πᾶσιν ἡμῖν· τοῖς εἰς σὲ καταφεύγουσιν, ἀπὸ παντοίων κινδύνων καὶ πειρασμῶν, καθ' ἑκάστην ἐκλυτρούμενος.

**Δόξα. Ἦχος δ'.**

Ὅτε ἐξεδήμησας πρὸς τὸν σὸν ποθούμενον Χριστόν, τότε οἱ θεῖοι Νόες, τὴν Ἱεράν σου Ψυχὴν ἀνελάμβανον, Γεράσιμε Θεόληπτε, καὶ πρὸς τὰς ἐκεῖσε καταπαύσεις γηθοσύνως κατεσκήνωσας, ἔνθα Ὁσίων πάντων τὸ πολίτευμα, ὧν καὶ τοὺς ἴσους ἀγῶνας ἐπὶ γῆς ἐξετέλεσας. Ὅθεν σὺν αὐτοῖς μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὸ ἱερόν σου μνημόσυνον.

**Καὶ νῦν, Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Τό, Φῶς ἱλαρόν, καὶ τὰ λοιπά.**



**Εἰς τὸν στίχον, στιχηρά.**

**Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.**

Χαίροις τῶν Μοναστῶν, καὶ Ἱερέων κλέος, σοῦ γὰρ τὴν πολιτείαν, Γεράσιμε Θεόφρον, καὶ Ἄγγελοι ἐθαύμασαν.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Δόξα σοι Βασιλεῦ, ὁ τῶν ἁπάντων Κτίστης, ὁ ἀναδείξας Κόσμῳ, Γεράσιμον τὸν Θεῖον, ὡς ἄλλον μέγαν Ἥλιον.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.**

Μέγιστον θησαυρὸν πλουτοῦμεν σε Τρισμάκαρ, φρουρὸς γὰρ καὶ προστάτης, ἐδόθης τῇ σῇ Νήσῳ, πηγὴ τε θαυματόβρυτος.

**Δόξα, καὶ νῦν. Ὅμοιον.**

Σέλας τὸ Τριλαμπές, Πάτερ, Υἱέ, καὶ Πνεῦμα, πρεσβείαις τοῦ Ὁσίου καὶ τῆς Πανάγνου Κόρης, ἐλέησον τοὺς δούλους σου.

**Τό, Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, καὶ τὰ λοιπὰ Ἀπολυτίκια ζήτει εἰς τὸν Μέγαν Ἑσπερινὸν καὶ Ἀπόλυσις.**

---

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλλομεν στιχηρὰ προσόμοια.**

**Ἦχος α'. Πανεύφημοι Μάρτυρες ὑμᾶς.**

Πάτερ Γεράσιμε τὰ σά, θεῖα κατορθώματα ἀνθρώπων γένος ἐξέστησαν, καὶ κατεπλάγησαν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἅπαντα Ἀγγέλων τὰ σεπτὰ στρατεύματα· μεθ' ὧν ὑπὲρ ἡμῶν τῶν τελούντων σου, ἀεὶ τὴν ἔνδοξον θείαν μνήμην, καὶ σωτήριον, μνημονεύων μὴ παύσῃ πρὸς Κύριον.

Πάτερ Γεράσιμε ἡ σή, στάσις ὁλονύκτιος, καὶ τῶν δακρύων ἡ ἔκβλυσις, πάσας κατέσβεσε σαρκικὰς ὀρέξεις, πρὸς Θεὸν πτερούμενος, καὶ νοῦν καὶ τῆς καρδίας τὰ ὄμματα· ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Γεράσιμε φωτός, Θείου ἐμφορούμενος, κατατρυφᾷς τελεώτατα, τῶν ἐπιλάμψεων, καλλονῆς ἀρρήτου, καὶ θείας μεθέξεως· ᾗ νῦν λαμπροφανῶς παριστάμενος, Χριστὸν δυσώπησον, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Γεράσιμε Θεοῦ, ὤφθης οἰκητήριον, διὸ τὸ Σκῆνος σου Ἅγιε, τὸ ἀδιάφθορον, εὐωδίαν βρύει τοῖς πιστῶς πελάζουσι, ψυχῶν τε καὶ σωμάτων τὴν ἴασιν, οὕτω γὰρ Κύριος, μεγαλύνει τοὺς δοξάζοντας ἐναρέτως, αὐτὸν καὶ λατρεύοντας.

**Ἕτερα στιχηρὰ προσόμοια.**

**Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασι.**

Ποίοις οἱ εὐσεβεῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν Θεοφόρον, τὸν νεοφανέντα τοῖς πέρασι, καὶ φωτὶ θαυμάτων αὐγάζοντα, τῶν πιστῶν ψυχάς τε καὶ



καρδίας ἀστέρα, ἀειλαμπῆ θεῖον Γεράσιμον, φωστῆρα, τῆς Ἐκκλησίας διαυγέστατον, τῶν μοναζόντων τὸ κλέος, ὃν τῷ στέφει νίκης, ὡς νικήσαντα τὸν ἐχθρόν, Χριστὸς ἐστεφάνωσεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις εὐφημιῶν στέμμασι, καταστέψωμεν τον Θεοφόρον, τὸν Κεφαλληνίας ὑπέρμαχον, θησαυρόν τε ὄντως ἀσύλητον, καὶ ἀεὶ θερμότατον προστάτην, κινδύνων καὶ δεινῶν αὐτὴν ρυόμενον, λοιμοῦ τε τὴν ἀπειλὴν ἀφανίζοντα, ταῖς εὐπροσδέκτοις πρεσβείαις, δι' ὧν ἡμῖν ἵλεων ἀπεργάζεται τὸν Χριστόν, τὸν παρέχοντα τῷ κόσμῳ, εἰρήνην καὶ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀναδύσωμεν τὸν Θεοφόρον, τὸν οὐρανομύστην τῆς χάριτος, καὶ σεπτὸν δοχεῖον τοῦ Πνεύματος· τὸν στερρὸν ἀσκήσεως ὁπλίτην· τὸν πάντας τοὺς δαιμονῶντας σωφρονίζοντα, καὶ πάντας τοὺς ἀσθενοῦντας θεραπεύοντα· ὀρθοδοξίας φωστῆρα, οὗ τὸ Σκῆνος βρύει ἰάματα τοῖς πιστοῖς, ψυχῆς ἀγαλλίασιν, εὐφροσύνην τε καὶ ἔλεος.

Ποῖα πνευματικὰ ᾄσματα, νῦν προσάξωμέν σοι Θεοφόρε· βίον γὰρ ἀσκήσας ἰσάγγελον, καὶ Θεῷ ἀπαύστως ἑνούμενος, πρὸς τὰ ὑπερκόσμια μετέβης· τὴν δόξαν, κατανοεῖν τὴν ἀνεκλάλητον, ταμεῖον κατακευάσας θαυματόβρυτον, τὸ σὸν σεβάσμιον Σκῆνος, εὐφροσύνης πλῆρες, τοῖς πιστεύουσι παρα-

σχών, ἐν ᾧ καὶ προστρέχοντες, θείαν χάριν ἀρρυόμεθα.

**Δόξα, καὶ νῦν. Ἦχος α΄.**

Εὐχαρίστῳ πνεύματι, χαίροντες ὦ Κεφαλλῆνες συνδράμωμεν, ἀπὸ οἰκείων δωμάτων φερόμενοι. **πλ. α΄.** Ἐπαπολαῦσαι ἐπισπεύσωμεν, τοῦ νεοφανοῦς φωστῆρος Ἐκκλησίας τὰ θαύματα· **β΄** Τὴν δὲ πάντιμον περικυκλοῦντες θήκην, εὐφροσύνως τῇ χάριτι εὐωχήσωμεν. **πλ. β΄.** Τὸ θεοβράβευτον, καὶ πανσέβαστον Σκῆνος θεώμενοι, τῷ δέει κρατούμενοι, εὐσεβοφρόνως τε γεραίροντες τὸν τοῦ Χριστοῦ ὑπηρέτην, τὸν ὕμνον σπεύσωμεν ἐκβοῆσαι. Ἰδοὺ ὁ πανθαύμαστος Γεράσιμος προτίθεται. **γ΄.** Ἄρωμεν τοίνυν τὰς χεῖρας, καὶ τοῦτον εὐχαρίστως ὑποδεξώμεθα, ὡς οὐρανόθεν ἡμῖν πεμφθέντα. **Βαρύς.** Δι' αὐτοῦ γὰρ πᾶσιν ἡμῖν πλουσίως εὐεργεσίαι νέμονται· ᾧ προσπελάζειν οὐ παυσόμεθα, κἄντι ἄξιον γέρας ἀπονέμειν ἀδύνατον. **δ΄.** Ζῶντα γὰρ καὶ μετὰ πότμον θησαυρὸν αὐτὸν κεκτήμεθα. **πλ. δ΄.** Διὸ Ὅσιε Θεοφόρε Χριστῷ σὺν Θεοτόκῳ Μαριὰμ Ἀχράντῳ Κόρῃ, πρέσβευε διηνεκῶς περιφρουρῆσαι, καὶ σῶσαι ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου, τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα. **α΄.** Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.



**Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται κτλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς κτλ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.**

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει κτλ.

(Βλέπε τὰ Ἀναγνώσματα ἐν σελίδι 25 κ. ἑξ.)

**Εἰς τὴν Λιτήν,**
**τὰ παρόντα Ἰδιόμελα, ἦχος α΄.**

Τὸν θεοειδῆ Ἀσκητήν, καὶ νεοφανῆ ἐκ τῆς Ἕως ἀστέρα, θεῖον Γεράσιμον εὐφημήσωμεν· οὗτος γὰρ ἔτι ζῶν, μεγάλως ἠγωνίσατο, ταῖς ἐπαγρύπνοις αὐτοῦ στάσεσιν, ἀμέσως παριστάμενος τῷ Κυρίῳ, διὸ καὶ μετὰ θάνατον ἡ θεία Σορὸς αὐτοῦ, τοῖς προσιοῦσι πηγάζει ἀεννάως τὰ θαύματα, ὑπὲρ ὧν καὶ πρεσβεύει ἀδιαλείπτως Χριστῷ τῷ Θεῷ, δωρηθῆναι αὐτοῖς τὸ μέγα ἔλεος.

**Ὁ αὐτός.**

Ἐν τοῖς ἐπουρανίοις σκηνώμασιν Ὅσιε, σὺν ταῖς Ἁγίων χορείαις, τὸ πνεῦμά σου αἰωνίως ἀγάλλεται· λαμπρῶς δὲ σοῦ τὸ Σῶμα τὸ θεῖον τε καὶ σεβάσμιον, ἐν τῇ Κεφαλληνίᾳ διασώζεται θαυματόβρυτον· δόξης γὰρ παρὰ Θεοῦ, οἱ δοξάζοντες αὐ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τόν, τῷ στέφει λαμπρύνονται. Διὸ πρέσβευε τῷ Κυρίῳ, Θεοφόρε Γεράσιμε, ἐλέους τυχεῖν, τοὺς εὐσεβῶς ἐκτελοῦντας τὴν σεβάσμιον μνήμην σου.

Ὁ αὐτός.

Ἐθαυμάστωσεν ὄντως ἡ χάρις τοῦ Πνεύματος, Ὅσιε Πάτερ τὸν βίον σου, ὅτι καὶ ζῶν Θεοφόρε Γεράσιμε, τὸν τῆς γῆς ταῖς εὐχαῖς σου, αὐχμὸν διέλυσας, τῇ πρὸς Θεὸν παρρησίᾳ σου καὶ τῆς δωρεᾶς τῶν προκρίτων ἀξιωθείς, νηστείαν ἐτέλεσας τεσσαρακονθήμερον, οὐδόλως βρώσεως μετασχών· καὶ μετὰ θάνατον αὖθις τὸ γένος σου ἔσωσας, τοῦ βυθοῦ καὶ τοῦ δαίμονος, καὶ τοῖς πᾶσι τρανῶς διαβεβαιοῖς, τὴν χάριν τὴν ἔνθεον τὴν ἐν σοὶ ἐνεργοῦσαν ἀείμνηστε, τοῖς αἰτοῦσι προχέων ἀεννάως τὰ θαύματα, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σὺν ταῖς ἄνω χορείαις ἐν Οὐρανοῖς σου τὸ πνεῦμα ἀγάλλεται Γεράσιμε Ὅσιε, σῶμα δέ σου τὸ θεῖον ἐν τῇ τῶν Ὁμαλῶν Μονῇ διασώζεται θαυματόβρυτον, εὐωδιάζον τοὺς προσπελάζοντας, καὶ μετ' εὐλαβείας τοῦτο ἀσπαζομένους. Οὕτω γὰρ Θεὸς τοὺς αὐτὸν ἀντιδοξάζει δοξάζοντας· ὃν ἱκέτευε Θεοφόρε ἐκ κινδύνων ἡμᾶς ρυσθῆναι καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Ἦχος δ'.

Ὅτε ἐξεδήμησας Θεοφόρε Γεράσιμε, πρὸς τὸν σὸν πλάστην καὶ Δημιουργὸν Χριστὸν τὸν Θεόν, παρῆσαν αἱ Ὅσιαι Μονάζουσαι θρηνοῦσαι καὶ λέγουσαι· Διδάσκαλε μὴ ἐάσῃς ἡμᾶς ὀρφανάς, αἷς δι' οἶκτον ἐδόμησας τὸ θεῖον Μονύδριον, ἐν ᾧ αἱ προστρέχουσαι τῶν βιωτικῶν θορύβων διασώζονται. Διὸ πρέσβευε Θεομακάριστε Χριστῷ τῷ Θεῷ, τοῖς εὐσεβῶς ἐκτελοῦσι τὴν μνήμην σου, δωρηθῆναι ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Δεῦτε ἅπαντες πιστοί, πρὸς τὸν Ὅσιον δράμωμεν Γεράσιμον, οὗ τὰ παλαίσματα, καὶ τὰς θείας ἀριστείας ἐκμιμούμενοι, ὕμνοις καὶ ᾠδαῖς αὐτὸν καταστέψωμεν, βοῶντες πρὸς αὐτὸν ἐκτενῶς. Μὴ ἀποκάμῃς ταῖς πρεσβείαις σου Πάτερ δεόμεθα, πρεσβεύειν τῷ πάντων δοτῆρι Θεῷ, σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως, τελούντων τὴν θείαν καὶ πανίερον μνήμην σου.

Ὁ αὐτός.

Πάτερ Γεράσιμε, νέος ἀθλητὴς τοῖς παλαίσμασι τῆς συνειδήσεώς σου ἀναδειχθείς, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, οὗ τῇ ἐλλάμψει ἐμπνευσθείς, Μονὴν ἐκ βάθρων θείαν ἀνήγειρας, καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ᾠκοδόμησας, ἐν ᾗ τὰς εὐχάς σου προσαναπέμψω Θεῷ· διὸ αἱ ἐν αὐτῇ ἀσκοῦσαι Μονάστριαι, τὴν σὴν ἐτήσιον, ὁλοσχερῶς ἐκτελοῦσαι μνήμην, γεραίρουσι τὸν σὲ δοξάσαντα Κύριον, ὃν ἐκτενῶς ἱκέτευε σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως, ἐκτελούντων σου τὸ μνημόσυνον.

**Δόξα. Ἦχος πλ. α΄.**

Βασιλεῦ Οὐράνιε, οἶδα πόσα δύνασαι ἐκτελεῖν θαυμάσια, τὸν θεῖόν σου καταπλουτίσας Γεράσιμον τὸν θεόφρονα. Πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ σου, ἐξήνθησε δικαίως, καὶ τῆς Κεφαλληνίας ἐπλήθυνε τὰ πνευματικὰ σπέρματα, ὑπογραμμὸς καὶ τύπος αὐτῇ καὶ ἡμῖν ταῖς θείαις ἀρεταῖς γενόμενος. Διὸ ταῖς τοῦ Ὁσίου ἱκεσίαις, ὡς παρρησίαν ἔχοντος πολλήν, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς, τοὺς πίστει καὶ πόθῳ ἑορτάζοντας, τὴν ἀεισέβαστον μνήμην αὐτοῦ.

**Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος· τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Εἰς τὸν στίχον στιχηρὰ προσόμοια.**
**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν ἀληθῶς.**

Χαίροις Κεφαλληνίας στερρόν, Θεοῦ προνοίᾳ, καὶ ἑδραῖον κραταίωμα, ὁ ῥύστης ὁμοῦ καὶ φύλαξ



καὶ ἀντιλήπτωρ θερμός, ὁ παρέχων πᾶσι τὴν βοήθειαν· ἀεὶ γὰρ πλουτοῦμεν σε ἐν κινδύνοις ὑπέρμαχον, ἐπίκουρόν τε, συμπαθῆ ἐν ταῖς θλίψεσι, περιστάσεων, τοῦ λοιμοῦ ἡμᾶς σώζοντα· φρούρει οὖν δυσωποῦμέν σε, Γεράσιμε Ὅσιε, τὴν νῆσόν σου ταύτην καὶ πάντας, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου, ἐκ πάσης ἀνάγκης, καὶ Χριστὸν ἀεὶ δυσώπει, ὑπὲρ τῆς ποίμνης σου.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.**

Χαίροις τῆς Ἐκκλησίας Χριστοῦ, ἀστὴρ ὁ νέος, ὁ ἀεὶ διαυγέστατος, τῷ κάλλει ὡραϊσμένος, τῆς ἰσαγγέλου ζωῆς, ἀρετῶν τε θείαις λαμπηδόσεσι, ψυχῇ τε καὶ σώματι καθαρὸς δι' ἀσκήσεως, Τριάδος ὄντως, τῷ φωτὶ λαμπρυνόμενος· ὁ ταῖς λάμψεσι, τῶν ἐνθέων σου πράξεων, ἅπασι τὴν ἐράσμιον, ἐμφαίνων ἀπόλαυσιν, διαγωγῆς ἐναρέτου, εὐφραινομένης τὸν Κύριον. Αὐτὸν ἐκδυσώπει, παρασχεῖν τοῖς σὲ τιμῶσι τὸ μέγα ἔλεος.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.**

Πλοῦτος καὶ θησαυρὸς ἀρετῶν, καὶ τῆς ἀγάπης θεῖος μύστης γεγένησαι, δοξάζων μόχθοις καὶ πόνοις, τὸν ἐν ὑψίστοις Θεόν, εὐκλεῶς διό σε ἀντεδόξασε, θαυμάτων φαιδρότητι, στεφοδότης ὁ πάνσοφος, πηγὴν τοῖς πᾶσι, καθιστῶν σε ἀκένωτον, τὰ ἰάματα τοῦ παρέχειν τοῖς χρῄζουσι· δαίμονας ἐκδι-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ώκειν τε, Γεράσιμε Ὅσιε, καὶ σοῦ τὸ πάνσεπτον Σκῆνος, εἰς εὐωδίας ἀπόλαυσιν, πιστοῖς παρασχεῖν τε, πρεσβευτήν τε, καὶ προστάτην, καὶ ἀντιλήπτορα.

**Δόξα. Ἦχος πλ. δ'.**

Τῶν Μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν, Πατὴρ ἡμῶν Γεράσιμε· διὰ γάρ σου τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν· Ἀγγέλων συνόμιλε, Ὁσίων ὁμόσκηνε, καὶ δικαίων, μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

**Ἀπολυτίκιον. Ἦχος α'.**

Τῶν ὀρθοδόξων προστάτην, καὶ ἐν σαρκὶ Ἄγγελον, καὶ θαυματουργὸν θεοφόρον νεοφανέντα ἡμῖν, ἐπαινέσωμεν πιστοὶ θεῖον Γεράσιμον· ὅτι ἀξίως παρὰ Θεοῦ ἀπείληφεν ἰαμάτων τὴν ἀέναον χάριν· ρώννυσι τοὺς νοσοῦντας, δαιμονῶντας



ἰᾶται· διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

**Δόξα.**

Τῶν Τρικκάλων τὸν γόνον, Κεφαλλήνων τὸ κλέϊσμα, Ὁμαλῶν Μονῆς τὸν προστάτην, Σὲ εὐφημοῦμεν, Γεράσιμε. Ἐβίωσας γὰρ ἐν τῇδε τῇ ζωῇ, ὡς ἄγγελος οὐράνιος Θεοῦ· διὸ δόξης ἠξιώθη καὶ ἀφθαρσίας Σῶμά σου τὸ πάντιμον. Δόξα τῷ Σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ Σὲ ἀφθαρτώσαντι, δόξα τῷ δωρησαμένῳ Σε πιστοῖς, πρέσβυν ἀκοίμητον

**Καὶ νῦν.**

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ Κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

**Ἀπόλυσις, ἐὰν δὲν ἕπεται παννυχίς.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ - ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν ἑξάψαλμον καὶ τὴν Α΄ στιχολογίαν**
**Καθίσματα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Τὸν νέον Ἀσκητὴν καὶ Χριστοῦ ὑπηρέτην, Ὁσίων καλλονήν, Ἱερέων τὸ κλέος, Γεράσιμον ὑμνήσωμεν, καὶ ᾠδαῖς μεγαλύνωμεν. Οὗτος ἔφθασεν, εἰς Οὐρανίους θαλάμους, καὶ ἀπείληφε τὰ τῶν καμάτων ἀφθόνως, βραβεῖα τὰ τίμια.

**Δόξα. Ὅμοιον.**

Τὸν βίον εὐσεβῶς ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρόν, σὺ τοῦ Πνεύματος ὤφθης, φωτίζων τοὺς πίστει σοι, προσιόντας Μακάριε. Ὅθεν αἴτησαι τὸν σὸν Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε Πάτερ, Θεόφρον Γεράσιμε.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Αὔλων στρατιῶν, ὑπερέχουσα Κόρη, καὶ τάξεις Οὐρανῶν ὑπερβαίνουσα μόνη, ἐπάξιον τὴν αἴνεσιν παρ αὐτῶν δέχῃ Πάναγνε, ἀλλὰ πρέσβευε, τῷ σῷ Υἱῷ σὺν Ἀγγέλοις, τοῦ ρυσθῆναί με τῆς τῶν παθῶν τυραννίδος, τὸν μόνον κατάκριτον.

**Μετὰ τὴν β΄ Στιχολογίαν.**
**Κάθισμα, Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τρίβον διώδευσας, τοῖς πλείστοις ἄβατον, εἰς τεσσαράκοντα, ἡμέρας ἄσιτος, ὡς ὁ Δεσπότης



γὰρ καὶ σὺ διήνυσας Θεοφόρε. Ὅθεν καὶ ἠξίωσαι, χαρισμάτων ἀντάξια, τὸ Σκῆνος γάρ σου Ἅγιε ἀφθαρσίᾳ δεδόξασται, διὸ εὐχαριστοῦντες βοῶμεν· Δόξα Θεῷ τῷ στεφοδότῃ.

**Δόξα. Ὅμοιον**

Ἅπαν τὸ φρόνημα, σαρκὸς ἐμάρανας, βίου ὀρθότητα, ἀσκήσας ἄριστα, καὶ τῶν καμάτων ἀμοιβήν, τὰ θαύματα ἐκομίσω. Ὅθεν καὶ τὸ Σκῆνός σου, τὸ σεπτὸν καὶ σεβάσμιον, βρύει τὰ ἰάματα, τοῖς πρὸς σὲ μετὰ πίστεως, προσπίπτουσι τῇ θείᾳ σου σκέπῃ, Πάτερ Θεόφρον Γεράσιμε.

**Καὶ νῦν. Θεοτοκίον ὅμοιον.**

Θεομακάριστε Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσαν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι πολλοῖς ἐν πταίσμασι Θεοτόκε· ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου· δέξαι με Πανάχραντε, τὸν πολλὰ ἁμαρτήσαντα, ἵνα ἐν παρρησίᾳ βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

**Μετὰ τὸν Πολυέλεον Καθίσματα.**

**Ἦχος. πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί.**

Ἐγκρατείᾳ καὶ πόνοις καὶ προσευχαῖς τὴν ψυχήν σου κοσμήσας θεοπρεπῶς, γέγονας συμμέτοχος, τῶν Ἀγγέλων Μακάριε, καὶ τῶν θαυμάτων ὄντως χαρίσματα ἔλαβες, τοῦ ἰᾶσθαι τὰς νό-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σους τῶν πίστει τιμώντων σε· ὅθεν καὶ δαιμόνων, ἀπελαύνεις τὰ πλήθη, καὶ παρέχεις ἰάματα τοῖς ἀνθρώποις Μακάριε, Θεοφόρε Γεράσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα. Ὅμοιον.**

Ιορδάνης ἐμφαίνει τὸ θαυμαστόν, καὶ περίδοξον ὕψος τῆς σῆς ζωῆς· τῷ κάλλει γὰρ ἔλαμψας, τῆς νηστείας πανόλβιε, τὴν Μωϋσέως χάριν, πλουτήσας, ὡς ἄριστος, καὶ Ἠλιοῦ γενναίως ἰχνῶν ἐφαψάμενος· ὅθεν τοῦ Δεσπότου μιμητὴς ἀνεδείχθης, φαιδρῶς δοξαζόμενος, πολιτείας λαμπρότητι, καὶ τῷ Κόσμῳ φαινόμενος, ἀριστεὺς ἐπουράνιος Ὅσιε· διό σε πιστῶς εὐφημοῦμεν, πόθῳ ἱκετεύοντες, τῶν δεινῶν περισώζειν τὴν σὴν Νῆσον Γεράσιμε.

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφανής, ἄσπιλε, ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλῃ καταύγασον δέομαι, καὶ μεμολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, καὶ τοῦ ῥύπου με κάθαρον, ἵνα πόθῳ κραυγάζω σοι, Θεοτόκε πανύμνητε, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

**Οἱ Ἀναβαθμοί. Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου. Προκείμενον. Ἦχος δ΄.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ.**

**Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.**

**Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς.**

**Ζήτει Δεκεμβρίου Ε΄.**

**Εἶτα ὁ Ν΄. Δόξα.** Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις.

**Καὶ νῦν.** Ταῖς τοῖς Θεοτόκου.

**Ἐλεήμων, ἐλέησόν με ὁ Θεός.**

**Καὶ τὸ παρὸν Ἰδιόμελον. Ἦχος. πλ. β΄.**

Γεράσιμε Ὅσιε, τῇ πολιτείᾳ ἰσάγγελε, καὶ πιστὲ θεράπον, ὡς ἔχων παρρησίαν πρὸς τὸν Σωτῆρα Χριστόν, περίσωζε ἡμᾶς ταῖς εὐπροσδέκτοις πρεσβείαις σου, ἀπὸ παντοίων κινδύνων, ὅτι σοῦ ἐσμὲν ποίμνιον.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.τ.λ.**

**Οἱ Κανόνες τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄.**

**Καὶ τοῦ Ἁγίου Κανόνες οἱ δύω εἰς ὀκτὼ ὁ Κανὼν τῆς Θεοτόκου. Ὠδὴ α΄.**

**Ἦχος α΄. Ὁ Εἱρμός.**

» Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες, Θεῷ τῷ ποιή-
» σαντι θαυμαστὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ
» σώσαντι τὸν Ἰσραήλ, ὅτι δεδόξασται.

**Τροπάριον.**

Ως μόνη τὸν ἄχρονον Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον Παναγία Ἄχραντε, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς πάθη θεράπευσον.

Τὰ τραύματα Πάναγνε τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν, λογισμοῦ τὴν σκότωσιν, καὶ τοῦ νοός μου ἐκτροπάς, ἀφάνισον ὡς ἀγαθή, ταῖς σαῖς δεήσεσι.

Τὸ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων Ἄχραντε, τῶν αἰωνίων ἐκεῖ, ὅπως σωζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Νοός μου Πανάμωμε τὰς ἀμαυρώσεις, φωτί σου ἀπέλασον, ἡ τὸ φῶς κυήσασα τὸ ὑπὲρ ἔννοιαν· καὶ δώρησαί μοι Ἀγαθὴ τὸ φῶς προσβλέψαι τὸ ἐκ σοῦ, ἐξανατεῖλαν ἡμῖν.

Ωδὴν κατανύξεως τῇ Θεοτόκῳ θερμῶς προσενέγκωμεν, ὦ ψυχή μου τάλαινα, βεβηλωθεῖσα κακῶς, ἵνα ῥυσθῶμεν ἐκ πυρὸς τοῦ αἰωνίζοντος.

**Ὁ Κανὼν τοῦ Ἁγίου. Οὗ ἡ ἀκροστιχὶς Μέλπω γέρας τιμῆεν Ἀσκητὴν νέον.**
**Μητροφάνους Ναυπλίου**
**Ἦχος ὁ αὐτός.**
**Χριστὸς γεννᾶται δοξάσατε.**

Μηδείς σου ἄλλος Γεράσιμε, νεοφανὴς ἐφάμιλλος γέγονε, βίον ἐναθλῶν ἀσκήσεως, ἔνθεον,



θεωρίας, ἀξιωθεὶς θείας ἐπιπνοίας, ὡς ὁ θεῖος Μωϋσῆς πανσόφως ἔνδοξε.

Ἔνθους ἐγένου πανόλβιε, ἐν θείαις προσευχαῖς σου ἱστάμενος, Θεὸν ἐνορῶν παντέλειον, ὄμματι διανοίας καθαρτικῷ· ὅθεν συναυλίζῃ τοῖς Ὁσίων Ἀσκητῶν Πάτερ σκηνώμασι.

Λαμπρὸς ὁ βίος σου ἔνδοξε, εἰς ἅπαντα τὸν κόσμον ἐξέλαμψε, φαιδρῶς καταστίλβων Ὅσιε, θείαις σου ἀριστείαις πλουτοποιέ, τῶν ἀπαυγασμάτων, τῶν ἐκ Θεοῦ, τοῦ πάντα λόγῳ τεκτήναντος.

**Θεοτοκίον.**

Σαρκὸς φανεὶς ὁμοιώματι, ὁ Λόγος τοῦ Πατρὸς Παναμώμητε, ἐκ σοῦ τεχθῆναι ηὐδόκησε, πᾶσαν τὴν ἁμαρτίαν τὴν Ἀδὰμ Πάναγνε, καὶ Εὔας ἀπέτεμε, διὰ σοῦ Θεοχαρίτωτε Δέσποινα.

**Ἕτερος Κανὼν τοῦ Ἁγίου, φέρων ἀκροστιχίδα ἐν τῇ ὀγδόῃ, καὶ ἐννάτῃ. Ὁ Ἰωάννης.**
**Ὠδὴ α΄. Ἦχος δ΄.**
**Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.**

Τὸν νοῦν μου, ταῖς σαῖς πρεσβείαις Ἅγιε λαμπρῶς ὁδήγησον, καὶ τὸ τῆς γλώττης ἄμουσον Σοφέ, ἵν' ἀξίως ἀγῶνας τοὺς σούς, καὶ διαυγῆ παλαίσματα, κροτῶν αἰνέσω ἀγαλλόμενος.

Τὸν πόθον τῶν γεννητόρων Ἔνδοξε, οὐδὲν λελόγισαι τὴν πρὸς Θεὸν προκρίνας βιωτήν, ἐξ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ὀνύχων διὸ ἁπαλῶν, πάντα λιπὼν Γεράσιμε, Χριστοῦ τοῖς ἴχνεσιν ἐβάδισας.

Τερπνότης, ἡ τῶν παρόντων ῥέουσα, οὐδόλως ἴσχυσε, τὸ στιβαρὸν ἀμβλύναι σῆς ψυχῆς, καὶ τὸ φίλτρον τὸ πρὸς τὸν Χριστόν, ᾧ κολληθεὶς κατέλιπες, πᾶσαν ἐπίκηρον ἀπόλαυσιν.

**Θεοτοκίον.**

Τὴν μόνην, ἐν γυναιξὶν ἀπείρανδρον ἁγνὴν ὑμνήσωμεν, ἱκετικῶς βοῶντες πρὸς αὐτήν, Γερασίμου λιταῖς τοῦ σεπτοῦ, καὶ σαῖς πρεβείαις Ἄχραντε, τήν δε τὴν ποίμνην σου διάσωσον.

**Καταβασία. Ἀνοίξω τὸ στόμα μου.**

**Ὠδὴ γ΄. Ὁ Εἱρμός.**

» Στερεωθήτω ἡ καρδία μου, εἰς τὸ θέλημά σου
» Χριστὲ ὁ Θεός, ὁ ἐφ ὑδάτων οὐρανῶν στερεώ-
» σας τὸν δεύτερον, καὶ ἑδράσας ἐν τοῖς ὕδασι τὴν
» γῆν Παντοδύναμε.

**Τροπάριον.**

Τῆς στειρευούσης διανοίας μου ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ῥῦσαί με πάσης κατακρίσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρός,



καὶ τοῦ σκότους Πανάμωμε, ἡ τὸ φῶς ἀποκυήσασα ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον Κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν Ἁγνή, τὴν φρικτὴν ὅλος δέδοικα, σπεῦσον σῶσον πρὸ τοῦ τέλους, Ἀγαθὴ τὸν ἱκέτην σου.

Εὐλογημένος τῆς κοιλίας σου, ὁ Καρπὸς Παρθένε Πανύμνητε· τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου Σταυροῦ αὐτοῦ ἀφθαρτίσας κατεστήσατο, κοινωνοὺς θείας χάριτος.

Θεογεννῆτορ Ἀπειρόγαμε, τὰς ἡμῶν δεήσεις προσάγαγε, τῷ Ποιητῇ σου, καὶ Θεῷ τῷ τεχθέντι ἐκ μήτρας σου, ὅπως εὕρωμεν τελείαν τῶν δεινῶν ἀπολύτρωσιν.

**Ἄλλος Τῷ πρὸ τῶν αἰώνων.**

Πᾶσάν σου τὴν σάρκα, ὑπετάξω νηστείαις τῷ πνεύματι, καὶ κακουχίαις τῶν δαιμόνων, καὶ ἐνέδρας τὰς τούτων, σαὐτὸν Πάτερ καθηράμενος ὁλοσχερῶς, ἐκολλήθης Χριστῷ τῷ σὲ καταστέψαντι.

Ὤφθης ἐκ κοιλίας, καταγώγιον θεῖον τοῦ Πνεύματος, φωταγωγούμενος ταῖς τούτου, ἐπιπνοίαις Παμμάκαρ· ἔνθεν φωτὸς ἔμπλεως γενόμενος, καὶ θείᾳ λάμψει τὸν νοῦν Πάτερ αὐγαζόμενος.

Γένος σου Θεόφρον, καὶ πατρίδα καὶ πλοῦτον κατέλιπες, ἀκολουθήσας ἐκ καρδίας, προστα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

γαῖς τοῦ Δεσπότου, ἔνθεν τούτῳ παριστάμενος, καθικετεύεις αὐτὸν ἐκτενῶς ὑπὲρ τῶν ὑμνούντων σε.

**Θεοτοκίον.**

Η ἁγιωτέρα γενομένη τῶν ἄνω δυνάμεων, σὺ εἶ Παρθένε Θεοτόκε, προστασία καὶ σκέπη, τῶν σοὶ προστρεχόντων Ἄχραντε. Μὴ οὖν παρίδῃς ἡμᾶς ἐκτενῶς, αἶνόν σοι προσάγοντας.

**Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.**

Ὡς ἔμπορος νουνεχής, τῶν ἐπιγείων τὰ τερπνὰ ἤλευσας πλοῦτον ποθῶν ἔνδοξε, τὸν ἀληθινὸν καὶ ἀΐδιον.

Τὸ φρόνημα τῆς σαρκός, θεοφιλῶς δουλώσας τῷ Πνεύματι, σκεῦος ἐχρημάτισας, καὶ λαμπρὸν δοχεῖον τοῦ Πνεύματος.

Ἐργάτης ὡς ἀληθῶς, τῆς ἀρετῆς ἐδείχθης Γεράσιμε, νοῦν καὶ τὴν διάνοιαν, ἄνω πρὸς Θεὸν ἔχων ἄτρεπτον.

**Θεοτοκίον.**

Συντήρει Μήτηρ Θεοῦ, ἐξ ἐπηρείας τήνδε τὴν ποίμνην σου, ἥτις ἐν σοὶ πέποιθε, τῇ σῇ ἀρωγῇ καταφεύγουσα.

**Καταβασία. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.**

**Αἴτησις μικρά, καὶ τὰ Καθίσματα.**

**Ἦχος πλ. δ΄. Τὴν Σοφίαν, καὶ λόγον ἐν σῇ γαστρί.**

Γεννητόρων τὸν πόθον ὑπεριδών, καὶ Χριστὸν ἀγαπήσας ὁλοσχερῶς, αὐτῷ ἠκολούθησας, μέχρι



τέλους ἀοίδιμε· τὸν γὰρ σταυρόν σου ἄρας, ἐπ᾿ ὤμου ἀνέδραμες, εἰς ἀβάτους ἐρήμους, διάγων ὡς ἄσαρκος· ὅθεν καὶ πλουσίας ἀμοιβὰς τῶν σῶν πόνων, ἐδέξω Μακάριε, ἐκ χειρὸς τοῦ Κυρίου σου, Θεοφόρε Γεράσιμε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Δόξα. Ὅμοιον.**

Τὰς εὐχάς σου σὺν δάκρυσι ταπεινοῖς, ἔτι ζῶν ἀναφέρων πρὸς τὸν Θεόν, αὐχμὸν λύεις Ἔνδοξε, τὸν τῆς γῆς ὡς φιλόστοργος. Μετὰ δὲ πότμον πάλιν, ἐξάγεις τὸ γύναιον, τὸ ἐμπεσὸν εἰς φρέαρ, ὠθήσει τοῦ δαίμονος. Ὅθεν τῶν θαυμάτων, τὴν θεόπνευστον χάριν, τοῖς πᾶσι πιστούμενος, ἐκτελεῖς τὰ τεράστια, δαιμονῶντας ἰώμενος, ἀσθενοῦντας ῥωννύμενος, θλίψεων λοιμοῦ καὶ δεινῶν, τὴν σὴν Νῆσον πάντοτε ῥυόμενος, καὶ τοῖς θερμῶς προσιοῦσι, τὰς αἰτήσεις δωρούμενος.

**Καὶ νῦν. Θεοτοκίον, Ὅμοιον.**

Τὴν Βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, ἐν φωναῖς μεγαλύνωμεν, καὶ ὑμνοῦντες βοήσωμεν· ἡ τῆς χαρᾶς αἰτία, Παρθένε Πανύμνητε, τοὺς τιμῶντάς σε σῷζε, καὶ σκέπε πρεσβείαις σου ἐκ πειρασμῶν παντοίων, καὶ νόσων καὶ θλίψεων· ἔχεις γὰρ ὡς Μήτηρ τοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοῦ παρρησίαν, οἰκτείρειν, βραβεύειν τε νοσημάτων τὴν ἴασιν· διὰ τοῦτο βοῶμέν σοι, πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον Τόκον σου.

**Ὠδὴ δ'. Ὁ Εἱρμός.**

» Ἐν πνεύματι προβλέπων Προφῆτα Ἀββακούμ,
» τὴν τοῦ λόγου σάρκωσιν ἐκήρυττες βοῶν,
» ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ πα-
» ρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, δόξα τῇ δυνάμει
» σου Κύριε.

**Τροπάριον.**

Παρθένε Παναγία, ἀμόλυντε σκηνή, μολυνθέντα πταίσμασι καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις, καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω, δόξα σοι Ἁγνὴ Θεοδόξαστε.

Ναὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος, Παρθένε ὑπὲρ νοῦν. Αὐτὸν δυσώπει, ἁμαρτιῶν ἡμᾶς ῥύπου ἀποκαθᾶραι, ὅπως οἶκος γνωρισθῶμεν καὶ κατοικητήριον Πνεύματος.

Ἐλέησόν με μόνη ἐλέους τὴν πηγήν, Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινήν, τῆς ψυχῆς μου νόσον, καὶ πώρωσιν τῆς καρδίας, δακρύων ῥεῖθρα, καὶ κατάνυξιν πρὸ τέλους, θείαν δωρουμένη πρεσβείαις σου.

Νοήσας ὁ Προφήτης, ἐν Πνεύματι Θεοῦ, ὄρος σε προέγραψε κατάσκιον Ἁγνή, τοὺς ἐκτακέντας



φλογμῷ πολλῶν ἐγκλημάτων, ἀποκαθαίρεις μεσιτείαις σου Παρθένε, μόνη τῶν βροτῶν ἡ ἀνόρθωσις.

Ἐξέστησαν ὁρῶσαι, Ἀγγέλων στρατιαί, πῶς ὁ ἀθεώρητος μορφῇ τῇ καθ' ἡμᾶς, ἐκ σοῦ ὡράθη Παρθένε Θεοτόκε, ὃν ἐκδυσώπει σωτηρίας ἀξιῶσαι, πάντας τοὺς πιστῶς σε δοξάζοντας.

**Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.**

Ἔφθασας Ἀγγέλων τὴν πληθύν, βιώσας ὑπὲρ ἄνθρωπον, καὶ ἀριστεύσας ἐν γῇ ὡς ἄσαρκος, ἐδείχθης τοῖς Μονασταῖς, θεῖον ὄντως ἔσοπτρον, πάσας λαμπηδόνας ἀποπέμπων, τῆς χάριτος τοῦ Θεοῦ, θείαις ἀγλαΐαις κοσμούμενος.

Ῥάβδος σου ἡ θεία καὶ σεπτή, θαυμάτων πλήρης γέγονε, καὶ νοσημάτων πάντων ἑκάστοτε, ἀπήλαυνε τὰ δεινὰ πάθη καὶ οἰδήματα τῶν μετ' εὐλαβείας προσπιπτόντων αὐτῇ, ἐξ εἰλικρινοῦς, Πάτερ Θεοφόρε, πόθου καὶ διαθέσεως.

Ἀγῶνας ἐνθέους ἐπὶ γῆς Παμμάκαρ, ἐκτετέλεκας, δικαιοσύνης νόμῳ ἑπόμενος, καὶ πόνων τὴν ἀμοιβὴν ἅπασαν καρπούμενος, τοὺς τῆς ἀρετῆς καρποὺς ἐδρέψω, καὶ ἐκομίσω ἐκεῖ τῶν θείων σου ἄθλων τὸν στέφανον.

**Θεοτοκίον.**

Ἁγίων Ἀγγέλων στρατιαὶ ὑμνῆσαι οὐ δεδύνηνται καὶ κατ' ἀξίαν ἐγκωμιάσαι σε, τοῦ πάν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

των Δημιουργοῦ Μητέρα τὴν ἄσπιλον, ὃν ὑπὲρ ἡμῶν ἀεὶ δυσώπει, κινδύνων καὶ πειρασμῶν, ἐλευθερωθῆναι τοὺς δούλους σου.

**Ἄλλος. Ἐπαρθέντα σὲ ἰδοῦσα.**

Οἱ ἐν πίστει προσιόντες, θείῳ Τεμένει τῷ σῷ σεπτῷ, Γεράσιμε Θεόληπτε Μάκαρ, ῥῶσιν ἐκ ποικίλων παθῶν, ἀφθόνως λαμβάνουσιν, ὕμνον εὐγνωμόνως σοι ᾄδοντες.

Ὁ τὰ πάντα προγινώσκων, τὴν σὴν καρδίαν εἰδὼς εὐθεῖαν, ὅλην κεκαυμένην τῷ φίλτρῳ, ἔρωτί τε τῷ πρὸς αὐτόν, ὡς λύχνον μονάζουσιν, ἔδειξε Γεράσιμε λάμποντα.

Ὡς ὑψίκομον ὡράθης δένδρον, Παμμάκαρ, σοῖς ὀχετοῖς δακρύων ἀρδευόμενος, Πάτερ τεραστίων καρπούς, ἐκφέρον τοῖς χρῄζουσι, πάντων τῶν δεινῶν ἐξαιρούμενος.

**Θεοτοκίον.**

Τὴν ὑπέραγνον Μητέρα σου εἰς πρεσβείαν, σὺν τῷ σεπτῷ καὶ θείῳ ποιμένι Γερασίμῳ, ἅπαντας δούλους σου πιστούς, Οἰκτίρμον δεχόμενος, ταύτην σου τὴν ποίμνην στερέωσον.

**Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.**

**Ὠδὴ ε'. Ὁ Εἱρμός.**

» Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ· ἄλλον
» γὰρ ἐκτός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά
» σου ὀνομάζομεν, ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν
» ὑπάρχεις.



**Τροπάριον.**

Τὰς κόρας τῆς καρδίας μου διάνοιξον, Ἁγνή, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον, ὅπως ἐλέους τύχω, καὶ αἰωνίου δόξης.

Πανάχραντε, ὡς τέξασα Σωτῆρα καὶ Θεόν, πρέσβευε ἐκ πάσης με θλίψεως καὶ νοσημάτων, καὶ κακώσεως, σῶον συντηρηθῆναι, τὸν σὸν ἀχρεῖον δοῦλον σου.

Δυσώπησον ὃν ἔτεκες, Παρθένε, ὑπὲρ νοῦν, σώζεσθαι τοὺς πίστει σοι κράζοντας· Χαῖρε Παρθένε Παναμώμητε, χαῖρε εὐλογημένη, τοῦ Κόσμου προστασία.

Διάσωσόν με, Πάναγνε, κινδύνων χαλεπῶν, ἔγειρον παθῶν κοπρίας καὶ ῥῦσαί με, αἰχμαλωσίας καὶ κακώσεως, πονηρῶν δαιμόνων, τὸν σὸν ἀχρεῖον δοῦλον.

Βασίλισσαν Παρθένον σε, κηρύττει ὁ Δαβίδ, Ἄχραντε Ἁγνή, διὸ ἱκετεύω σε, τῆς Οὐρανίου Βασιλείας με ποίησον κληρονόμον, ἵνα σὲ μακαρίζω.

**Ἄλλος. Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν.**

Σαρκὸς ἔξω, Πάτερ, ἐγένου ἀεί, ἀρετὴν ἐξασκήσας τὴν ἄϋλον, καὶ βίον ἀνεπίληπτον τελέσας

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΓΡΗΓΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐμφανῶς· ὅθεν τοὺς ἐν τῷ Κόσμῳ τὰ σὰ ἐκμιμουμένους κατορθώματα θεῖα, σκέπε, Θεόληπτε Γεράσιμε.

Τὴν σὴν πολιτείαν ἀνθρώπινος νοῦς, ἐννοῆσαι Θεόφρον, οὐκ ἴσχυσε, καὶ τρόπους τῶν ἀγώνων σου, τῶν θείων καὶ σεπτῶν, οὕσπερ ἐπολιτεύσω ἔτι ζῶν ἐν τῷ κόσμῳ, ὑπὲρ ἡμῶν πρεσβεύων Θεῷ, τῷ πάντων βασιλεύοντι.

Ἰδών σου τὸ πρᾷον ὁ πάντων Θεὸς καὶ ἡσύχιον, Πάτερ, καὶ ἄκακον, ἐδόξασεν, ἐτίμησε στεφάνοις ἀρετῶν, ἔνθεν περιχορεύεις οὐρανίοις παστᾶσιν, ὑπὲρ ἡμῶν πρεσβεύων Θεῷ τῷ πάντων βασιλεύοντι.

**Θεοτοκίον.**

Ὁ λόγος, Παρθένε, ἐκ σοῦ προελθὼν ἀπορρήτως, ἀφράστως ἐπέφανε, καὶ αὖθις σε κατέλιπεν Ἁγνὴν καὶ καθαράν, ὥσπερ ἦς πρὸ τοῦ Τόκου καὶ ἐν Τόκῳ καὶ μᾶλλον μετὰ Τόκον, μένεις Ἁγία Ἀειπάρθενος.

**Ἄλλος. Ἔξεστη τὰ σύμπαντα.**

Ἱκέσιον δέησιν, τῆς σῆς ποίμνης Γεράσιμε, ἔνδοξε αὐτῆς θεῖε προστάτα, πρόσχες καὶ ῥῦσαι ἐκ πολεμίων ἐχθρῶν, ταῖς σαῖς πρὸς τὸν εὔσπλαγχνον Θεόν, ἱεραῖς ἐντεύξεσι, διασώζων ἀκλόνητον.

Ἀγέλην τὴν θείαν σου, ἣν ἐκ Θεοῦ πεπίστευσαι, ἔνδοξε Γεράσιμε, Παμμάκαρ, φύλαττε ἀπήμονα ἐξ ἐχθρῶν δυσμενῶν, παντοίων τε ἄλλων δυσχερῶν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



τὴν σεπτῶς ὑμνοῦσάν σε, καὶ πιστῶς μεγαλύνουσαν.

Ἑόρτιον σήμερον, ἐν τῇ ἁγίᾳ μνήμῃ σου, πᾶσα ἡ πληθὺς ἀΰλων Νόων, δῆμος Ὁσίων, καὶ τῶν Δικαίων ὁμοῦ, κροτεῖ σὺν ἡμῖν χαρμονικῶς, αἶνόν σοι προσάγοντες, καὶ τῷ Κτίστῃ, Γεράσιμε.

**Θεοτοκίον.**

Χριστὸν ἡ κυήσασα, αὐτὸν ἡμῖν εὐΐλατον ποίησον, ὡς Μήτηρ τοῦ ἐλέους, ἄφεσιν δοῦναι τῶν ἐπταισμένων, Ἁγνή, καὶ θείας ἀξίωσον τρυφῆς· τοὺς εἰς σὲ ἐλπίζοντας, καὶ πρὸς σὲ καταφεύγοντας.

**Καταβασία. Ἐξέστη τὰ σύμπαντα.**

**Ὠδὴ ϛ', ὁ Εἱρμός.**

» Τὸν Προφήτην Ἰωνᾶν· ἐκμιμούμενος βοῶ, τὴν
» ζωήν μου, Ἀγαθέ, ἐλευθέρωσον φθορᾶς καὶ
» σῶσον με, Σωτὴρ τοῦ Κόσμου, κράζοντα δόξα σοι.

**Τροπάριον.**

Μολυνθέντα με πολλαῖς, ἁμαρτίαις τὴν ψυχήν, δυσωπῶ σε τὴν Ἁγνήν, καὶ ἀμόλυντον Σκηνήν, ἀπόπλυνον παντοίου ῥύπου, τῇ μεσιτείᾳ σου.

Κυβερνήτης μοι γενοῦ, θαλαττεύοντι ἀεί, ἐν πελάγει τῶν δεινῶν, τῶν τοῦ βίου πειρασμῶν, καὶ σῶσόν με, πρὸς σωτηρίας ὅρμον ἰθύνουσα.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν χειμάζουσι, βοήθησόν μοι, Ἁγία Δέσποινα.

Μεγαλεῖά σοι, Ἁγνή, ἐποιήσατο Χριστός, ὃν ἱκέτευε ἀεί, μεγαλῦναι ἐπ᾽ ἐμοί, τὰ πλούσια αὐτοῦ ἐλέη, Θεοχαρίτωτε.

Τὴν μητέρα τοῦ Θεοῦ, καὶ καλὴν ἐν γυναιξί, δυσωπῶ σε ἐκτενῶς, μὴ παρίδῃς με, Ἁγνή, ἀλλ᾽ οἴκτειρον, καὶ πάσης βλάβης, σῷον συντήρησον.

**Ἄλλος Σπλάγχνων Ἰωνᾶν**

Μέγα ἀληθῶς, νεόδμητον ἔρεισμα, ἐδόθης ἡμῖν, Θεῖε Γεράσιμε, Ἐκκλησίᾳ δέ, Ὀρθοδόξῳ ἐτέθης ὡς θεῖος πυρσός, διαλάμπων ἀεννάως ἐν τοῖς θαύμασιν. Οὕτω γὰρ ὁ πλουσιόδωρος, βραβεύειν οἶδε, τοὺς αὐτοῦ θεράποντας.

Ἤρθης ἀπὸ γῆς εἰς ὕψος αἰθέριον, Ἀγγέλοις συνὼν καὶ ἀγαλλόμενος, καὶ κατέλιπες, Μοναζούσαις τὴν θείαν εὐλόγησιν, εἰρηνεύειν ταύτας καὶ τὴν μνήμην σου, Μάκαρ, ἐκτελεῖν σοι πάντοτε, ἵνα εὕροιεν χάριν καὶ ἔλεος.

Ἔδυ σου εἰς γῆν τὸ σκῆνος, Θεόπνευστε, καὶ ἐν οὐρανοῖς τὸ θεῖον πνεῦμα σου, μεταβέβηκεν, ἐκ φθορᾶς εἰς ἀθάνατον εὔκλειαν, καὶ Τριάδι τῇ Ἁγίᾳ νῦν παρίσταται, ἧπερ καὶ πρεσβεύεις πάντοτε, ὑπὲρ πάντων τῶν πίστει ὑμνούντων σε.

**Θεοτοκίον.**

Λάμψον ἐν ἐμοί, τὸ φῶς τὸ ἀπρόσιτον, Παρθένε Ἁγνή, ἀειμακάριστε καὶ Πανάμωμε, μεσιτείαις σὸν Υἱὸν ἱκέτευσον, καὶ δυσώπησον αὐτόν, Θεοχαρίτωτε, δοῦναί μοι τελείαν ἄφεσιν τῶν κακῶν, οἷς αὐτὸν παρεπίκρανα.



**Ἄλλος. Θύσω σοι μετὰ φωνῆς.**

Ἄνωθεν παρὰ Θεοῦ τὴν χάριν δεξάμενος τοῦ ἐκτελεῖν τὰς ἰάσεις, τοὺς πρὸς σὲ ἐκ πίστεως προσιόντας τε, διασώζεις παντοίας βλάβης, Θεῖε Γεράσιμε.

Ἤμβλυνας τὰς τοῦ ἐχθροῦ ἐπάρσεις, Γεράσιμε, τὰς τούτου παγίδας συνθλάσας, συμμαχίᾳ θείᾳ ἐνισχυμένος, καὶ διέβης πρὸς γαληνοὺς λιμένας γηθόμενος.

Φύλαττε τοὺς σὲ ὑμνοῦντας πόθῳ Γεράσιμε, καὶ τὴν σὴν μνήμην τελοῦντας, ἐπηρείας πάσης ἀπηλλαγμένους, καὶ ἀξίους, τῆς οὐρανίου δόξης ποίησον.

**Θεοτοκίον.**

Ὕψιστε, Παμβασιλεῦ, Θεὲ Πολυέλεε, τῆς σῆς Μητρὸς ἱκεσίαις, καὶ τοῦ Θείου δούλου σου Γερασίμου, ἡμᾶς πάντας σοὺς δούλους ῥῦσαι πάσης κακώσεως.

**Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.**

**Αἴτησις μικρὰ καὶ εἶτα**

**Τὸ Κοντάκιον. Ἦχος γ΄.**

ΑΛΕΞΑΝΔΡΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΑΓΙΩΤΗ ΠΑΠΑΣΤΡΑΤΟΥ ΑΝΤΩΝΗ

**Ἡ Παρθένος σήμερον.**

Εὐχαρίστοις ᾄσμασι, τῶν Κεφαλλήνων ἡ Νῆσος, προσκαλεῖται σήμερον, τῶν ὀρθοδόξων τὰ πλήθη, μέγιστον νεοφανέντα ἐγκωμιάσαι, καύχημα ὀρθοδοξίας ἀναφανέντα, τὸν Γεράσιμον τὸν Θεῖον, τὸν ῥύστην ταύτης ὁμοῦ καὶ πρόμαχον.

**Ἕτερον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.**

Ἐγκρατείᾳ, Ὅσιε, τὸν νοῦν καθάρας, καὶ ἁγνείᾳ σώματος καταλαμπρύνας τὴν ψυχήν, ἀνεπτερώθης πρὸς ἄληκτον, καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

**Ὁ Οἶκος.**

Σὲ τὸν ἐπὶ γῆς νεοφανέντα ἀστέρα καὶ βίῳ ἀγγελικῷ παραδόξως πολιτευσάμενον, καὶ ταῖς φεγγοβόλοις τῶν θαυμάτων ἀκτῖσι τηλαυγῶς ἀναλάμψαντα, καὶ σεπτὸν δοχεῖον τοῦ Πνεύματος χρηματίσαντα, καὶ τῷ νοητῷ στερεώματι τῆς Ἐκκλησίας τεθέντα, καὶ πᾶσιν ἀφθόνως τὰ ἰάματα ἀναβλύζοντα, στέμμασιν εὐφημιῶν ἀναδύομεν, καὶ ἀνυμνοῦντες κράζομεν· τὴν Μονήν, καὶ τὴν Νῆσόν σου, Ἅγιε, περίσωζε ἀεὶ ταῖς πρεσβείαις σου, παντὸς κινδύνου ἀπήμονας· σὲ γὰρ καὶ φρουρὸν καὶ φύλακα, καὶ προστάτην θερμότατον κέκτηνται, καὶ τὸ θεῖον σου Σκῆνος, σέβουσαι πόθῳ τὸ θαυματόβρυτον, ἀκαταπαύστως βοῶσι σοι. Χαίροις τὸ ἡμῶν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



καύχημα, Ὅσιε, ὁ ἀναπτερωθεὶς πρὸς τὴν ἄληκτον καὶ θείαν δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

**Τῇ εἰκοστῇ τοῦ αὐτοῦ μηνὸς Ὀκτωβρίου μνείαν ποιούμεθα τῆς ἀνακομιδῆς τοῦ τιμίου καὶ ἱεροῦ λειψάνου τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου τοῦ ἐν Κεφαλληνίᾳ.**

**Γέρας γεραρὸν καὶ ἀγήρων παρέχει**
**Γερασίμῳ νέῳ τε Χριστὸς ἐν Πόλῳ**

**Στίχ. Ἦρατο Γεράσιμος Γέρας ἄφθιτον ἐν Παραδείσῳ.**

***Σημείωσις.*** Τὸ συναξάριον τοῦ Ἁγίου βλέπε ἐν σελ. 48 τῆς παρούσης ἐκδόσεως.

**Ὠδὴ ζ'. Ὁ Εἱρμός.**

» Τοὺς ἐν καμίνῳ Παῖδας σου Σωτήρ, οὐχ ἥψατο,
» οὐδὲ παρηνώχλησε τὸ πῦρ, τότε οἱ τρεῖς ὡς
» ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες·
» Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Τροπάριον**

Τὴν μιανθεῖσαν Ἄχραντε ψυχήν, ἁγίασον πάντοτε τῶν δούλων σου Ἁγνή, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμάς, τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκός, Πανάμωμε, ζώωσον τὸν νοῦν μου, καὶ Θεῷ τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με, ἵνα μεγαλύνω σε καὶ δοξάζω ἀεὶ τὴν ἀγαθότητά σου.

Νέκρωσόν μου, Δέσποινα Ἁγνή, τὰ τῆς σαρκὸς πάθη, καὶ ψυχῆς μου ταπεινῆς, ῥύπον δεινὸν

ἐναποσμήχουσα Παρθένε, καὶ λογοθεσίου με, τῶν ἀοράτων ἐχθρῶν, ῥῦσαι καὶ σῶσον με.

Σοί, Παναγία Ἄχραντε Ἁγνή, οἱ δοῦλοί σου πάντοτε ἡμέρας καὶ νυκτὸς, προσπίπτομεν συντετριμμένῃ διανοίᾳ, δυσωποῦντες λύτρωσιν, ἁμαρτημάτων εὑρεῖν ἡμᾶς, ταῖς σαῖς προσευχαῖς.

Ῥῦσαι γεένης, Δέσποινα τὸν δοῦλον σου, ῥῦσαι καταδίκης με φρικτῆς τοῦ σοῦ Υἱοῦ· ῥῦσαι κολάσεως ἁπάσης ἐμὲ τὸν κατάκριτον, ἐκδυσωποῦσα Θεὸν τὸν ὑπεράγαθον.

**Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.**

Νηφάλιος καὶ φρόνιμος ἐγένου Θεοφόρε, πρὸς Θεὸν πτερούμενος, θείαις ἐμπρέπων καλλοναῖς, μὴ πτοούμενος παγίδας, ἀνεβόας Μάκαρ τοῦ ἀλάστορος, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἀνέβης εἰς ὕψος, προτιμήσας τῶν ἐνύλων καὶ γηΐνων πάνσοφε, τὰ δι' αἰῶνος ἀγαθά, καὶ τὴν ἄρρητον τερπνότητα, ἀνεβόας ψάλλων Ἅγιε, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Στενὴν καὶ τεθλιμμένην διοδεύσας τρίβον Ὅσιε, τὴν λείαν εὗρες καὶ φαιδράν, τὴν ἀνάγουσαν εἰς ὕψος μετάρσιον, καὶ βοῶν ὁλοψύχως τῷ Δεσπότῃ σου, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καὶ γλώσσῃ καὶ καρδίᾳ, σοὶ προσφέρω τὴν ᾠδὴν Θεσπέσιε, τὴν ταπεινήν τε καὶ οἰκτράν,



καὶ θερμῶς ταύτην ὑπόδεξαι καὶ Χριστὸν ὑπὲρ ἡμῶν ἀεὶ δυσώπησον, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι Θεοφόρε.

**Θεοτοκίον.**

Φιλάγαθε Παρθένε Θεοτόκε, τὴν ψυχήν μου κεκακωμένην πάθεσι, σῶσον καὶ ἴασαι αὐτήν, μεσιτείαις εὐπροσδέκτοις σου, καὶ ἐκ πάσης ἁμαρτίας ἔκπλυνον, ἡ τὸν Θεὸν ἀσπόρως συλλαβοῦσα.

**Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.**

Τοῖς κροτάφοις σου, ἀνάπαυσιν οὐκ ἔδωκας Πάτερ Γεράσιμε, οὐδὲ τοῖς σοῖς νυσταγμὸν βλεφάροις Μακάριε, οὐ σαρκὸς ἄνεσιν, καταγώγιον ἕως αὐτὸν ἐτέλεσας, τῆς Τριάδος Θεοφόρε.

Τοὺς ἀγῶνας, οὕσπερ ἔτλης, ἔτι ζῶν μετὰ σαρκὸς Γεράσιμε, οὐκ ἐξαρκεῖ ἀνθρωπίνη γλῶσσα προσφθέγξασθαι, δι' ὧν σοι Κύριος εἰς ἀντάμειψιν, χάριν θαυμάτων δέδωκεν, ἰατρεύειν πᾶσαν νόσον.

Ἀκεσώδυνον τὸ σῶμα σου τὸ πάνσεπτον Θεὸς ἀνέδειξε, διατηρήσας αὐτὸ ἀκέραιον ἄφθορον Πάτερ Γεράσιμε, τοῖς ὁρῶσιν εὐωδίαν βλύζον ἄρρητον, καὶ διῶκον πᾶσαν νόσον.

**Θεοτοκίον.**

Ἀπειρόγαμε, τὸν ὕμνον ἡμῶν πρόσδεξαι, ὅν σοι προσάγομεν, καὶ ῥῦσαι πάσης ὀργῆς, λοιμοῦ τε κακώσεως, πόρρωθεν βάλλουσα τὴν δαιμόνιον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πληθὺν τῆς θείας ποίμνης σου, εὐλαβῶς σε ἀνυμνούσης.

**Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.**

**Ὠδὴ η'. Ὁ Εἱρμός.**

» Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί,
» ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε Ἱερεῖς, δο-
» ξάσατε Παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε εἰς
» πάντας τοὺς αἰῶνας.

**Τροπάριον**

Σαρκοῦται ὁ ἄσαρκος, ἐκ σοῦ θεοπρεπῶς, ὃν αἴτησαι Πάναγνε, τὰ πάθη τῆς ἐμῆς ψυχῆς, θανατῶσαι καὶ ζωῶσαι αὐτήν, νεκρωθεῖσαν πάλαι, κακίστῃ ἁμαρτίᾳ.

Ἰάσω τὸ σύντριμμα Ἀδὰμ τοῦ χοϊκοῦ, Σωτῆρα κυήσασα Πανάχραντε Θεόν. Αὐτὸν ἐκδυσώπει, τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι, ἀνίατα νοσούσης.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με, πολέμησον ἐχθρούς· τρωθεῖσαν ἀτόποις ἡδοναῖς τὴν ψυχήν, Ἁγνὴ μὴ παρίδῃς· ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ἰάτρευσον Ἄχραντε, τὰ πάθη τῆς ἐμῆς καρδίας, κυήσασα τὸν πάντων Ἰατρόν, καὶ τῆς τῶν Δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος, Χριστὸν ἐκδυσωποῦσα.



Ὡς κρῖνον κοιλάσι σε, τοῦ βίου εὑρηκώς, ἐν σοὶ κατεσκήνωσεν ὁ πάντων φυτουργός, ὀσμαῖς ἐναρέτοις καὶ σεμνότητος νῦν, κατευωδιάζων ἡμᾶς, Θεογεννῆτορ.

**Ἄλλος. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.**

Ἤστραψεν ἡ φαεινή σου Πάτερ μνήμη, ἀπαυγάζουσα τοῖς ἐν τῷ κόσμῳ, φωτισμὸν καὶ ἔλεος πᾶσι χριστιανοῖς, παρρησίᾳ σου Παμμάκαρ εὐπροσδέκτῳ ἀεί· διὸ ἀνυμνοῦντες σου τὴν μνήμην Θεὸν σέβομεν, καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Τάγματα καὶ σύστημα ἀζύγων, Ἱερέων καὶ Μοναζουσῶν ἅμα Θεόπτα, τοὺς ἱδρῶτας Ὅσιε, καὶ καμάτους ἐπὶ τῆς γῆς, οὓς ὑπέστης καθορῶντά σε τιμῶσιν ἀεί· διὸ ἀνυμνοῦντές σε κραυγάζομεν, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἥκει σου ἡ πάνσεπτος καὶ θεία μνήμη, τοῦ τιμίου σου θείου Λειψάνου, συγκαλοῦσα ἅπαντας εἰς ἑστίασιν πνευματικὴν καὶ θαυμάτων προσπηγάζουσα ἐνέργειαν· διὸ εὐφροσύνως σὲ γεραίρομεν, εὐλογοῦντες τοὺς ἀγῶνάς σου θαυμάσιε, καὶ ὑπερυψοῦντες αὐτοὺς εἰς τοὺς αἰῶνας.

**Θεοτοκίον.**

Σέσωσται ἡ πεπτωκυῖα πάλαι φύσις, τῶν ἀνθρώπων διὰ σοῦ Παρθένε, καὶ Θεῷ διήλλακται

τῷ σεπτῷ σου Τοκετῷ, καὶ τὰ κάτω σὺν τοῖς ἄνω ἀναμίγνυνται· διὸ ἀνυμνοῦντές σε δοξάζομεν, τὴν Μητέρα τοῦ Δεσπότου καὶ Πανύμνητον καὶ ὑπερυψοῦμέν σε πάντες εἰς αἰῶνας.

**Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.**

Ὅλον σου τὸν βίον διανύσας, ἐν κόποις καὶ καχουχίαις ταῖς τοῦ σώματος, εὗρες τὴν αἰώνιον, ὄντως πανευφρόσυνον, ἐν Οὐρανοῖς ἀπόλαυσιν, Ἀγγέλοις σύσκηνος καὶ πάντων τῶν Ὁσίων τοῖς δήμοις συνδοξάζων τούτοις Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἴσον σου τὸν δρόμον ἐκτελέσας, Ὁσίοις καὶ Ἱεράρχαις, καὶ δικαίοις τε, ἴσον καὶ τὸν στέφανον, πρὸς Χριστοῦ ἀπείληφας, ἐν Οὐρανοῖς ἐπάξιον τῆς σῆς ἀσκήσεως, συγχαίρων, συνυμνῶν τὴν Τριάδα, ἣν καθικετεύων ὑπὲρ ἡμῶν μὴ παύσῃ.

Ὥσπερ σου τὸ σῶμα διασώσας ἀμόλυντον ἡδονῆς Θεῖε Γεράσιμε, οὕτω καὶ ἀφθάρτισε, σώσας τε ἀκέραιον, εὐωδιάσας Κύριος, καὶ ἀπειργάσατο, νοσοῦσιν ἀμισθεὶ ἰατρεῖον, πᾶσι προσιοῦσιν αὐτῷ μετ' εὐλαβείας.

**Θεοτοκίον.**

Ἄχραντε Παρθένε Θεοτόκε, ἁπάντων ἁμαρτωλῶν τὸ καταφύγιον, καὶ τὸ ἱλαστήριον, τοὺς εἰς σὲ προστρέχοντας, μετ' εὐλαβείας ἅπαντας, καὶ σοὶ



κραυγάζοντας, ἀσπόρως ὡς Χριστὸν τετοκυῖα, τοῦτον δυσωποῦσα ὑπὲρ ἡμῶν μὴ παύσῃ.

**Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.**

**Καὶ ψάλλεται ἡ Τιμιωτέρα.**

**Εἶτα Ὠδὴ θ'. Ὁ Εἱρμός.**

» Τὴν φωτοφόρον Νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπό-
» της, ὡς ὑετὸς ἐξ Οὐρανοῦ, ἐπὶ πόκον κατῆλθε
» καὶ ἐσαρκώθη δι' ἡμᾶς, γενόμενος ἄνθρωπος ὁ
» ἄναρχος, μεγαλύνομεν πάντες, ὡς Μητέρα τοῦ
» Θεοῦ ἡμῶν Ἁγνήν.

**Τροπάριον.**

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ Κριτήριον Ἁγνή, τὸ ἀδέκαστον τρέμω, ἐν ᾧ μὲ τήρησον ταῖς σαῖς, Ἁγίαις δεήσεσι, Θεόνυμφε, ἀκατάκριτον ὅπως, ὡς προστάτην μακαρίζω σε ἀεί.

Φρίττω τὸ Βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ, πράξεις αἰσχράς, ἐπὶ γῆς ἐκτελέσας, καὶ διὰ τοῦτό σοι βοῶ, πανεύσπλαγχνε Δέσποινα, βοήθει μοι καὶ τῆς τότε ἀνάγκης ἐξελοῦ με καὶ διάσωσον Ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη, ὡς ἡ ἀπόφασις φρικτή, ὡς δεινὴ ἡ αἰσχύνη, τίς ὑποστήσεται λοιπόν; Πανάχραντε Δέσποινα, ἐλέησον τὴν ἀθλίαν ψυχήν μου, καὶ πρὸ τέλους δός μοι ἄφεσιν Ἁγνή.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Φ**ῶς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς προσβολαῖς τοῦ πονηροῦ, καὶ κακίαις ἁπάσαις, καὶ παροργίζοντα Θεόν, Πανάμωμε φώτισον, ὁδηγοῦσα πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

**Φ**ωτιστικαῖς λαμπηδόσι, τοῦ ἀνατείλαντος Λόγου, ἐκ τῆς Ἁγίας σου Γαστρός, Θεοτόκε Παρθένε, καὶ καταυγάσαντος τῆς γῆς τὰ πέρατα, φώτισον τὴν ψυχήν μου ἡδονῶν ἀμαυρώσει σκοτισθεῖσαν, ἵνα πίστει σὲ ὑμνῶ.

**Ἄλλος. Μυστήριον ξένον.**

**Μεγάλυνον ψυχή μου τὸν νεοφανέντα Γεράσιμον τὸν Θεῖον.**

**N**εότητος ἄνθος, καὶ κάλλος ἐμάρανας, τῆς σαρκὸς Πανόλβιε τὰς ἀτάκτους ἀναπαύσεις, καὶ κινήσεις ὑπεριδών, ἐν οἷς ἐλαμπρύνθη σου ὁ νοῦς πρὸς Θεόν, καὶ ἡ ψυχή, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

**Μεγάλυνον ψυχή μου τὸν ἐν τοῖς κινδύνοις ῥύστην καὶ προστάτην Γεράσιμον τὸν Θεῖον.**

**Ε**ξαίσιον βίον, ὁρῶντες σου Πάτερ, οἱ καλῶς ἀσκούμενοι, σὺν ἅμα κανονικαῖς, ἀπεθαύμασάν σε ἐξιστάμενοι, ἐν ᾧ ὥσπερ τὶς αἰθέριος, ἀνέπτης εὐκλεῶς, Θεὸν γεραίρων τὸν παντάνακτα.

**Μεγάλυνον ψυχή μου τῆς Ὀρθοδοξίας τὸ καύχημα τὸ μέγα Γεράσιμον τὸν Θεῖον.**

**Ο**λόφωτον αἴγλην, λαβὼν καὶ ἀθάνατον, ἐκ Θεοῦ Θεόληπτε ἀπεφάνθης ζῶν, καὶ μετὰ τέλος



θαυμάτων ὑπουργός, ἐν οἷς ὑπὲρ πάντων ἱκέτευσον Θεόν, τὸν ἐπὶ γῆς καὶ Οὐρανοῦ σὲ καταστέψαντα.

**Μεγάλυνον ψυχή μου τῆς Ὀρθοδοξίας τὸ καύχημα τὸ μέγα Γεράσιμον τὸν Θεῖον.**

**N**αὸν καθαρὸν Θεός σε εὑράμενος, μεγάλως ἐδόξασε, καὶ χαρισμάτων χάριν ἐπλούτισε, καὶ ἐστεφάνωσεν, ἐν ᾧ μεσιτεύεις τοῦτον ἐκτενῶς καταπεμφθῆναι τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

**Θεοτοκίον.**

**Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.**

**Α**πόρρητον τόκον ὁρῶ, καὶ παράδοξον, οὐρανὸν τὴν Μήτραν σου, Θρόνον Χερουβικὸν τὴν Νηδύν σου, Παρθένε Μαρία, ἐν ᾗ ἀνεκλίθη ὁ ἀχώρητος Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

**Ἄλλος. Ἅπας γηγενὴς σκιρτάτω.**

**Μεγάλυνον ψυχή μου τὸν λάτρην τῆς Τριάδος Ὀρθοδοξίας κλέος. Γεράσιμον τὸν Θεῖον.**

**N**εῦσον πρὸς ἡμᾶς, πιστῶς ἀθροισθέντας τῷ σῷ Ναῷ, προσψαύοντας ἐν πίστει καὶ πόθῳ, σορόν σου τὴν θείαν Μάκαρ Γεράσιμε, καὶ ἐξ αὐτῆς παντὸς κακοῦ ῥῶσιν λαμβάνοντας, ταῖς λιταῖς σου ταῖς σεπταῖς πρὸς Κύριον, ἃς προσφέρων μὴ παύσῃ δεόμεθα.

**Μεγάλυνον ψυχή μου τὸν λάτρην τῆς Τριάδος Ὀρθοδοξίας κλέος Γεράσιμον τὸν Θεῖον.**

**N**άουσαν πηγήν, σορόν σου Γεράσιμε, Χριστὸς ἀνέδειξεν, ἥνπερ καὶ ἀφθάρτισεν, εἰς δεῖξιν ὄν-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τως λαμπρὰν ὁρώντων σε, τῶν ἰαμάτων χάριν τοῖς πάσχουσι βλύζουσαν, καὶ δαιμόνων φάλαγγας ἐλαύνουσαν, ἐξ ἀνθρώπων πιστῶς προσιόντων σοι.

**Μεγάλυνον ψυχή μου τῆς Τρισυποστάτου καὶ ἀδιαιρέτου Θεότητος τὸ Κράτος.**

**Δόξα.**

Ηὔγασαν φαιδρῶς, καθάπερ ὁ Ἥλιος θεῖοι ἀγῶνες σου, καὶ τὰ κατορθώματα, ἅπερ εἰργάσω Πάτερ Γεράσιμε, δι' ὧν Χριστὸς ἀμείβων σε λαμπρῶς ἐδόξασε, σὺν Ἁγίοις, ὅνπερ καὶ δυσώπησον ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν μνήμην σου.

**Θεοτοκίον**

**Μεγάλυνον ψυχή μου τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας**

**Καὶ νῦν**

Σὺ ὡς ἀληθῶς δοχεῖον τοῦ πνεύματος ἐδείχθης Δέσποινα, ὃν γὰρ Οὐρανὸς καὶ γῆ χωρῆσαι ὅλως Θεὸν οὐ δύνανται, ἐν σῇ γαστρὶ ἐχώρησας, ὃν ἐξευμένισον, Γερασίμου καὶ ταῖς σαῖς δεήσεσι, ὑπὲρ ἡμῶν τῶν πιστῶς ἀνυμνούντων σε.

**Καταβασία. Ἅπας γηγενὴς σκιρτάτω**

**Ἐξαποστειλάριον. Ἐν πνεύματι τῷ ἱερῷ**

Ἐν ἀρετῇ διέπρεψας, καὶ ἀσκήσει Παμμάκαρ, σημαιοφόρος γέγονας, καὶ λαμπρὸς ὑπηρέτης, Χριστοῦ τοῦ παμβασιλέως, καὶ Θεοῦ τῶν ἁπάντων· ᾧ καὶ πρεσβεύεις Θεόφρον, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, τῶν ἐκ πόθου τὴν σεπτήν, θείαν σου μνήμην τελούντων.



**Ἕτερον. Γυναῖκες ἀκουτίσθητε**

Προστάτην σε θερμότατον, Κεφαλληνία κέκτηται, φρουρόν τε φύλακα ῥύστην· διὸ λαμπρῶς τὴν σὴν μνήμην, πανηγυρίζει κράζουσα· ἀεὶ σκέπε τὴν Νῆσον σου, καὶ φύλαττε ἀπήμονα, λοιμοῦ, λιμοῦ, καὶ κινδύνων Γεράσιμε Θεοφόρε.

**Θεοτοκίον. Ὅμοιον.**

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον, τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

**Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή. Ἱστῶμεν Στιχ. δ'.**

**Καὶ ψάλλομεν Στιχηρὰ προσόμοια. Ἦχος πλ. δ'.**

**Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.**

Τί σε νῦν προσείπω Θαυμάσιε; Ὁδηγὸν τῆς εὐσεβείας, ἀρετῆς ὑπογραμμόν. Ἀσκητήν; ὅτι γενναίως παρετάξω τοὺς ἐχθρούς. Προφήτην; ὅτι προὔλεγες τὰ μέλλοντα. Ἀλείπτην; ὅτι πᾶσιν, ἐχορήγησας· πολλά σου τὰ κατορθώματα, καὶ μείζονα τὰ χαρίσματα· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω Γεράσιμε; Χορηγὸν τοῖς ἐνδεέσι καὶ προστάτην ὀρφανῶν· καὶ διδάσκαλον παντοίων νοημάτων εὐσεβῶν· καὶ πέλεκυν ἐκκόπτοντα ζιζάνια τῆς πλάνης, καὶ ἀπάτης τῶν αἱρέσεων. Πολλά σου τὰ προτερήματα, καὶ ἄξια τὰ χαρίσματα· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσφθέγξομαι Ὅσιε; Οὐρανόν; ὅτι τὴν δόξαν διηγήσω τοῦ Θεοῦ· Ποταμόν; ὅτι ἠρδεύσω πᾶσαν ἄγονον ψυχήν· Ναμάτων ζωηρρύτων πηγὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἄφθονον, καὶ κῆπον εὐωδέστατον καὶ πάγκαλον τῆς ἀρετῆς, καὶ τῆς Χάριτος, ἣν ἐκ Θεοῦ πιστῶς εἴληφας· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσω Γεράσιμε, εὐφροσύνην Μοναστῶν καὶ γλυκασμὸν Μοναζουσῶν, μεσιτείαν εὐσεβῶν καὶ Ἱερέων καλλονήν; φωστῆρα· νοητὸν φῶς ἀπαστράπτοντα. Κρατῆρα; θεῖα νάματα προχέοντα, τῆς πολιτείας σου, Ἅγιε, ὑπέρλαμπρε καὶ θεόπνευστε· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. δ'.**

Τάδε λέγει Ἀββᾶς πρὸς μοναστρίας· τεκνία εἰρηνεύετε ἐν ἑαυταῖς καὶ μὴ τὰ ὑψηλὰ φρονῆτε, ἀλλὰ ταπεινώσατε ἑαυτάς, διὰ τὸν ταπεινώσαντα ἑαυτὸν δι' ἡμᾶς, μέχρι καὶ δούλου μορφῆς Κύριον, αὐτὸς γὰρ ἔφη, ταπεινοῖς διδόναι χάριν· μνήσθητε ὅτι τα τοῦ Κόσμου ἀποταξάμεναι, Χριστῷ συνετάχθητε τῷ ὡραίῳ κάλλει παρὰ πάντας βροτούς, τῷ καὶ τὴν Βασιλείαν αὐτοῦ ἐπαγγειλαμένῳ, τοῖς σταυρώσασιν ἑαυτούς, σὺν τοῖς παθήμασι, καὶ ὀπίσω αὐτοῦ ἑπομένοις ἐν ἀληθείᾳ. Γρηγορεῖτε γοῦν προσευχόμεναι ἐκφυγεῖν τὰς πάγας καὶ θήρατρα τοῦ ψυχοφθόρου, ἐξ ὧν αὐτὸς φυλάξαι ὑμᾶς ὡς φιλάνθρωπος, παρέχων ἡμῖν ἱλασμὸν ἁμαρτιῶν, δι' ἐμοῦ τοῦ ταπεινοῦ, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

**Καὶ νῦν. Δέσποινα πρόσδεξαι**

**Δοξολογία μεγάλη καὶ τὰ λοιπὰ καὶ Ἀπόλυσις.**

**Εἰς τὴν Λειτουργίαν, Τυπικὰ καὶ ἐκ τοῦ πρώτου Κανόνος τοῦ Ἁγίου ᾠδὴ γ' εἰς τέσσαρα· καὶ ἐκ τοῦ δευτέρου ᾠδὴ ϛ' εἰς τέσσαρα. Ἀπόστολον δὲ καὶ Εὐαγγέλιον ζήτει εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Σάββα.**

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

# ΓΕΡΑΣΙΜΟΝ

**Μετὰ τὸν Εὐλογητόν, τὸ Κύριε εἰσάκουσον.**

**Εἰς τὸ Θεὸς Κύριος, ψάλλομεν τὰ παρόντα Τροπάρια. Ἦχος δ'.**

Τῷ Θεοφόρῳ Γερασίμῳ προσπέσωμεν, οἱ ταῖς τοῦ βίου τρικυμίαις ποντούμενοι, ἀπὸ βαθέων κράζοντες ψυχῆς πρὸς αὐτόν· Ἅγιε Γεράσιμε, τῇ θερμῇ σου πρεσβείᾳ, σπεῦσον ἐξελοῦ ἡμᾶς, πειρασμῶν καὶ κινδύνων, καὶ Βασιλείας πάντας οὐρανῶν, ἀξιωθῆναι ἱκέτευε, Ὅσιε.

**Δόξα. Ὅμοιον.**

Οἱ ὑπ' ὀδύνων χαλεπῶν κατεχόμενοι, καὶ συμφοραῖς καὶ ἀσθενείαις τρυχόμενοι, μετὰ κλαυθμῶν στενάζοντες ἐκ βάθους ψυχῆς, δράμωμεν δακρύοντες Γερασίμου Τεμένει, κράζοντες ἐκ πίστεως, ἰατρὲ τῶν νοσούντων, ταῖς σαῖς πρεσβείαις μάκαρ πρὸς Θεόν, ῥῦσαι ἡμᾶς πολυτρόπων κακώσεων.

**Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσωμεν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους, οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Εἶτα ὁ Πεντηκοστός. Καὶ εὐθὺς ὁ Κανὼν τοῦ Ἁγίου.**
**Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.**
**Ὠδὴ α'.**
**Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

Τρισμάκαρ Γεράσιμε ἐκτενῶς, δέησιν προσάγων μὴ ἐλλείπῃς τῷ λυτρωτῇ, κινδύνων παντοίων διασῶσαι, τοὺς ἀδιστάκτῳ τῇ πίστει τιμῶντάς σε.

**Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.**

Ἡ θεία σορός σου, Πάτερ, πιστοῖς βρύει τὰς ἰάσεις, προσιοῦσι τῷ σῷ Ναῷ, καὶ πάθη ψυχῶν τε καὶ σωμάτων, ὡς ἰατρὸς θεραπεύεις πανάριστος.

**Δόξα.**

Νοσοῦσάν μου ἴασαι τὴν ψυχήν, Γεράσιμε μάκαρ, τῶν νοσούντων ὁ Ἰατρός, καὶ βαίνειν τὰς τρίβους τοῦ Κυρίου, τῇ μεσιτείᾳ παμμάκαρ ἐνίσχυσον.

**Καὶ νῦν. Θεοτοκίον**

Δυσώπει Παρθένε τὸν σὸν Υἱόν, σὺν τῷ Γερασίμῳ, νεκρωθεῖσάν μου τὴν ψυχήν, ζωῶσαι ὁ πάλαι τὸν τῆς χήρας, υἱὸν ζωώσας τῷ θείῳ προστάγματι.

**Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.**
**Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν μετὰ τοῦ Δόξα καὶ Νῦν ἐν ἑκάστῃ τῶν ἑπομένων ᾠδῶν ὡς ἐν τῇ α' ᾠδῇ.**

Ἔχοντές σε προστάτην, πρὸς τὸν Θεὸν ἔνδοξε, οἱ Κεφαλληναῖοι τιμῶμεν καὶ ἱκετεύομεν, Πάτερ Γεράσιμε, τοὺς σὲ πιστῶς εὐφημοῦντας, πειρασμῶν ἀπάλλαξον τῇ μεσιτείᾳ σου.

Ἱκετεύομεν Πάτερ, τὰ τῆς ψυχῆς ἴασαι πάθη, καὶ τὰ τραύματα ταύτης τάχος θεράπευσον, τῶν εὐφημούντων σε καὶ γεραιρόντων ἐκ πόθου, μοναζόντων καύχημα μάκαρ Γεράσιμε.



Εὐμενῆ σε προστάτην, πρὸς τὸν Θεὸν Ὅσιε, πάντες προβαλλόμεθα Πάτερ, Θεῖε Γεράσιμε, καθικετεύοντες, πειρατηρίων παντοίων, λυτρωθῆναι ἅπαντας τῇ μεσιτείᾳ σου.

Παναγία Παρθένε, τὸν Λυτρωτὴν τέξασα, λύτρωσαι παντοίων κινδύνων τοὺς σοὶ προστρέχοντας καὶ ἀνυμνοῦντάς σε Θεοκυῆτορ Μαρία, τῶν πιστῶν βοήθεια μόνη Πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων, Γεράσιμε τὴν σὴν Νῆσον, καὶ τὴν ποίμνην, ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ τούτων καὶ ρύστης.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Εἶτα ἡ Αἴτησις καὶ τὸ προσόμοιον.**
**Ἦχος β'. Τὰ ἄνω ζητῶν.**

Προστάτης θερμός, ὑπάρχεις ὦ Γεράσιμε, τοῖς πόθῳ τῷ σῷ τεμένει προσπελάζουσι, καὶ πιστῶς γεραίρουσι καὶ βοῶσί σοι πανσεβάσιμε, ἐκ τῶν κινδύνων λύτρωσαι ἡμᾶς, ὡς μέγας ἡμῶν φύλαξ καὶ πρόμαχος.

**Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.**

Θεοφόρε Γεράσιμε, λύτρωσαι κινδύνων τοὺς σὲ γεραίροντας καὶ προστρέχοντας τῇ σκέπῃ σου, ὅπως σὲ ἀπαύστως μακαρίζωμεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ικετεύομεν Ὅσιε, τὴν νενεκρωμένην ψυχὴν ἡμῶν ζώωσον, καὶ ἀνάστησον πρεσβείαις σου, ἐκ βυθοῦ θανοῦσαν ἀπογνώσεως.

Ὃν ἐπόθησας Ὅσιε, σάρκα δι' ὃν ἔτηξας καθικέτευε, τοῖς ὑμνοῦσί σε δωρήσασθαι, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Ταῖς Μητρός σου δεήσεσι, καὶ τοῦ σοῦ Ὁσίου Κύριε, δώρησαι τοῖς ἱκέταις σου τὴν ἄφεσιν, τῶν πλημμελημάτων ὑπεράγαθε.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.**

Γερασίμου τοῦ Θείου, ταῖς πανευπροσδέκτοις ὁ Θεὸς δεήσεσι, σκότους ἐξωτέρου, καὶ γεένης τοὺς δούλους σου λύτρωσαι, καὶ τῆς Βασιλείας τῶν Οὐρανῶν ἀξιωθῆναι, καταξίωσον μόνε Μακρόθυμε.

Παρεστὼς τῇ Τριάδι, Πάτερ παμμακάριστε Θεῖε Γεράσιμε, ὑπὲρ τῶν σῶν δούλων, καθικέτευε ταύτην μακάριε, τοῦ ῥυσθῆναι πάντας, βιωτικῶν πειρατηρίων, τοὺς προστρέχοντας πίστει τῇ σκέπῃ σου.

Ἀναιμάκτους Θυσίας, λειτουργῶν προσέφερες Θεῷ τρισόλβιε, Ἱερεὺς ὑπάρχων, τοῦ Ὑψίστου Γεράσιμε πάντιμε· ἀλλὰ τοῦτον Πάτερ, ἐκδυσωπῶν μὴ διαλείπῃς ὑπὲρ πάντων τῶν πίστει τιμώντων σε.

Θεοτόκε Παρθένε, καύχημα καὶ στήριγμα πιστῶν πανάμωμε, ἡ Θεογεννήτωρ καὶ τῆς κτίσεως πάσης Βασίλισσα, τοὺς ὑμνολογοῦντας τὸν σὸν Υἱόν, λύτρωσαι πάσης ἐπηρείας δεινοῦ πολεμήτορος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.**

Ἡ σὴ παμμάκαρ ψυχή, τοῖς Οὐρανοῖς ἐγκατῴκησε, τὸ σῶμά σου δὲ τῇ γῇ ὑπάρχον ἐξαίσια, τελεῖ τὰ τεράστια, ψυχῶν καὶ σωμάτων, θεραπεῦον τὰ νοσήματα.

Σαῖς εὐπροσδέκτοις εὐχαῖς, συντήρει Μάκαρ Γεράσιμε, τοὺς πόθῳ εἰλικρινεῖ, ψυχῆς τε ἁγνότητι, τιμῶντάς σε ἔνδοξε, καὶ προσκαλουμένους, σοῦ τὴν ἄμαχον ἀντίληψιν.

Μεσίτην πρὸς τὸν Θεόν, σὲ εὐμενῆ προβαλλόμεθα, Γεράσιμε ἱερέ· ὑπάρχεις γὰρ στήριγμα, καὶ καύχημα Ὅσιε, τῶν πιστῶν καὶ κλέος ἡμῶν, Πάτερ πανσεβάσμιε.

Ἡ βάτος τῷ Μωϋσῇ, σὲ προετύπου Πανάμωμε· ἐκ σοῦ γὰρ ὁ Λυτρωτὴς ὡς τεχθεὶς ηὐδόκησε, διασῶσαι Ἄχραντε τοὺς προσκαλουμένους, σοῦ τὴν ἄμαχον βοήθειαν.

Διάσωσον ἀπὸ κινδύνων Γεράσιμε, τὴν σὴν νῆσον, καὶ τὴν ποίμνην ἧς ἐκ Θεοῦ προστάτης γεγένησαι, καὶ ἄγρυπνος φύλαξ τούτων καὶ ῥύστης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

**Αἴτησις, καὶ τὸ παρὸν Κοντάκιον.**

**Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.**

Οἱ ποθοῦντες τῶν ἀσθενειῶν ἀναρρώσασθαι, Γερασίμου τῷ σεπτῷ Τεμένει προσδράμωμεν, καὶ ἐγγίζοντες εὐλαβῶς τῇ θείᾳ αὐτοῦ Σορῷ, μετὰ πόθου κράξωμεν αὐτῷ, ὡς ἐκ Θεοῦ χάριν λαβὼν

τούς νοσοῦντας ἰάσασθαι, τάχυνον ἐξελέσθαι, παντοίων πειρατηρίων, καὶ τῶν ἐχθίστων δυσμενῶν· τοὺς ἐν πίστει ἀνυμνοῦντάς σε.

**Εἶτα οἱ ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.**

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμένοι.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα ἅπασαν τὴν Κτίσιν πρὸς ζωογονίαν.

**Καὶ εὐθὺς τὸ Προκείμενον.**

**Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.**

**Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.**

**Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.**

**Τὸ Πᾶσα πνοή, καὶ τὸ Εὐαγγέλιον.**

**Ἐκ τοῦ κατὰ Ματθαῖον.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐ-



μοῦ, ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρὸν ἐστί.

**Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεβείαις.**

**Στιχ. Ἐλεήμων, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.**

**Καὶ τὸ παρὸν Ἰδιόμελον. Ἦχος πλ. β΄.**

Μάκαρ, Θεοφόρε Γεράσιμε, σὲ καὶ ζῶντα περιχαρῶς ἐπλουτήσαμεν, καὶ μετὰ θάνατον ἔχειν σε ἠξιώθημεν πανθαύμαστε· διὸ τὸ θεῖον σου καὶ σεβάσμιον Σκῆνος εὐλαβῶς ἀσπαζόμενοι δυσωποῦμέν σε τὸν Θεὸν ἱκετεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Σῶσον ὁ Θεὸς τὸν Λαὸν σου.**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Τῶν Ἀγγέλων ὑπάρχων, ἰσοστάσιος ὄντως Πάτερ τρισόλβιε, Γεράσιμε Θεόφρον, ἐκλύτρωσαι κινδύνων τοὺς ἐν πίστει κραυγάζοντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σεαυτὸν τῷ Κυρίῳ, προσενήνοχας Πάτερ θῦμα εὐπρόσδεκτον, Γεράσιμε Θεόφρον, καὶ νῦν μὴ διαλείπῃς· ἐποπτεύων τοὺς μέλποντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἀμυθήτους ἀγῶνας, ἐπὶ τῆς γῆς ἠγωνίσω Πάτερ Γεράσιμε, καὶ νῦν ταῖς οὐρανίαις, συνὼν χοροστασίαις περιφρούρει τοὺς μέλποντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Πανύμνητε Παρθένε, ἡ Θεὸν σαρκωθέντα Κόσμῳ κυήσασα, παντοίων ἀλγηδόνων· ἀπάλλαξον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τούς πίστει, τῷ Υἱῷ σου κραυγάζοντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

**Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.**

Τῇ σῇ Πρεσβείᾳ, τὰς τῶν ψυχῶν ἀρρωστίας, τῶν σὲ τιμώντων θεραπεύεις τρισμάκαρ, ὅθεν σὲ τιμῶμεν Γεράσιμε Θεόφρον.

Πρὸς τὸν Δεσπότην, σὲ προβάλλοντες πρέσβυν, ἀπὸ κινδύνων ἐκλυτρούμεθα, Μάκαρ, σαῖς πανευπροσδέκτοις πρὸς τὸν Θεὸν πρεσβείαις.

Τὰ τῆς ψυχῆς μου ἀποκάθαρον πάθη σῇ μεσιτείᾳ, Θεοφόρε τρισμάκαρ, ὅπως σε γεραίρω, Γεράσιμε Θεόφρον.

Τὴν ἐκτακεῖσαν ἁμαρτίαις ψυχήν μου σῇ μεσιτείᾳ καταδρόσισον, Κόρη, ὅπως σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

**Ὠδὴ θ'. Κυρίως Θεοτόκον.**

Εἰρήνην οὐρανόθεν, Ὅσιε τρισμάκαρ, καταπεμφθῆναι δυσώπει πανόλβιε, τοῖς καθαρᾷ διανοίᾳ, σὲ μακαρίζουσιν.

Χαρᾶς καὶ εὐφροσύνης, ἔμπλησον Θεόφρον, τοὺς προσιόντας τῷ θείῳ Τεμένει σου, καὶ τὸν Δεσπότην ἀεὶ μεγαλύννοντας.

Καταύγασον τὰς κόρας, Μάκαρ τῆς ψυχῆς μου, πεπωρωμένας, καὶ τρέχειν ἐνίσχυσον, πρὸς τρίβους θείας τὸν σὲ μακαρίζοντα.

Τὴν ὄντως Θεοτόκον, πάντες σὲ τιμῶμεν, καὶ ἀσιγήτως τὸ χαῖρέ σοι κράζομεν· σὺ γὰρ ἐκύησας κόσμῳ τὴν ἀγαλλίασιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Καὶ εὐθὺς τὰ Μεγαλυνάρια.**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν· τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν Οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

**Καὶ τὰ ἀκόλουθα τοῦ Ἁγίου.**

Τῆς Πελοποννήσου θεῖος βλαστός, καὶ Κεφαλληνίας ὁ ἀσύλητος θησαυρός, καὶ πάσης Ἑλλάδος τὸ καύχημα τὸ μέγα, Γεράσιμε Θεόφρον, σκέπε τὴν Νῆσόν σου.

Χαίροις ὁ Τρικκάλων Γόνος λαμπρός, χαίροις Κεφαλλήνων ἀπροσμάχητος βοηθός, χαίροις Ἱερέων τὸ σέμνωμα καὶ κλέος, Γεράσιμε τρισμάκαρ, πιστῶν τὸ καύχημα.

Τίς μὴ ἐκπλαγῇ τοὺς σοὺς πολλοὺς ἀγῶνας, παμμάκαρ, καὶ τὰ θαύματα τὰ σεπτά, ἅπερ διετέλεις, Γεράσιμε Θεόφρον· διὸ λιταῖς σου θείαις ἡμᾶς περίσωζε.

Μέγιστος ὑπάρχεις ὑμῶν φρουρός, φύλαξ καὶ προστάτης ἀντιλήπτωρ καὶ πρεσβευτής, ἐν κινδύνοις ῥύστης, λοιμοῦ τε καθαιρέτης, Γεράσιμε Τρισμάκαρ, διὸ τιμῶμέν σε.

Χαίροις Ἐκκλησίας νέος ἀστήρ, Ἱερέων δόξα, Μοναζόντων ὑπογραμμός, Ἀσκητῶν λαμπρότης, τῆς χάριτος δοχεῖον, προστάτης δὲ καὶ σκέπη ἡμῶν, Γεράσιμε.

Πηγὴν θαυματόβρυτον τὸ σεπτόν, Σκῆνός σου Παμμάκαρ, κεκτημένη παρὰ Θεοῦ, ἐν σοὶ χάρμοσύνως ἡ Νῆσός σου καυχᾶται, Γεράσιμε, ἣν φρούρει, σαῖς εὐχαῖς πάντοτε,

Τῆς ὁμολογίας Χριστιανῶν, ἔθετό σε στύλον, ἀδιάσειστον ὁ Θεός, τὸ σεπτόν σου Σκῆνος, Γεράσιμε δοὺς πᾶσι, τοῖς ἐναντίοις λίθον, δεινοῦ προσκόμματος.

Ποίμνης σου Παμμάκαρ, ἧς ἐκ Θεοῦ, φύλαξ ἐπιστεύθης, τοῦ ἡγεῖσθαι αὐτῆς θερμῶς, σκέπε, φρούρει ταύτην, ἐχθίστων ἀοράτων, παντοίων ὁρατῶν τε, Θεῖε Γεράσιμε.

Κόπους τε καὶ πόνους, οὓς δι' αὐτήν, ἤνυσας Παμμάκαρ, περιόντος σου ἐν τῇ γῇ, πρέσβευε τηρεῖσθαι, τοὺς θῆρας ἐκδιώκων, συλῆσαι τοὺς ζητοῦντας, καὶ ἀφανίσαι σπεύδοντας.

Δέχου τὰς πρεσβείας Παμβασιλεῦ, τοῦ θεράποντός σου, Γερασίμου νῦν τοῦ σεπτοῦ, καὶ τὴν ποίμνην ταύτην ἀπήμονα συντήρει, ἐχθίστων πάσης βλάβης, ὅπως δοξάζω σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.



**Εἶτα τὸ Τρισάγιον, τὸ Πάτερ ἡμῶν, ὅτι σοῦ ἐστίν, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ Ἀπόλυσις ἄνευ τοῦ δι' εὐχῶν. Εἶτα τὰ παρόντα προσόμοια, ὅτε καὶ γίνεται ἡ προσκύνησις τῆς πανσέπτου Σοροῦ, ἢ τῆς Εἰκόνος τοῦ Ἁγίου.**

**Ἦχος β'. Πάντων προστατεύεις Ἀγαθή.**

Πάντες οἱ ἐκ νόσων χαλεπῶν, καὶ κινδύνων ἄλλων παντοίων, δεινῶς θλιβόμενοι νῦν, ἔνθα τὰ ἰάματα, θαυματοβρύτου Σοροῦ, Γερασίμου ἐκβλύζουσιν, ὡς ῥεῖθρα Νειλῷα, σπεύδοντες προσπέσωμεν, γονυκλινῶς ἐν κλαυθμῷ, ῥῦσαι ἐκβοῶντες σοὺς δούλους, ἐκ πειρατηρίων καὶ νόσων, καὶ παντοίων θλίψεων Γεράσιμε.

**Ἕτερον. Ὅμοιον.**

Ὄντως ἀνεδείχθης ἐκ Θεοῦ, ἄκρος ἀκεστὴρ ἀντιλήπτωρ, τὰ πάθη πάντων πρὸς σέ, πόθου τε καὶ πίστεως, προσπεφευγόντων θερμῶς, ἀναργύρως ἰώμενος Γεράσιμε Θεῖε, ὅθεν σου δεόμεθα, περιπτυσσόμενοι νῦν, θείαν σου Σορόν, καὶ βοῶντες, οἴκτειρον ἡμᾶς ταῖς λιταῖς σου, καὶ δεινῶν παντοίων ἐλευθέρωσον.

**Ἕτερον. Ὅμοιον. Θεοτοκίον.**

Πάντας ἡμᾶς οἴκτειρον, Ἁγνή, Μῆτερ τοῦ Θεοῦ καὶ Παρθένε, προσπεφευγότας ἐν σοί, καὶ σοῦ τὴν ἀντίληψιν ἐπιζητοῦντας θερμῶς, σὸν ἱκέτην προβάλλοντες, Γεράσιμον Θεῖον, πρέσβυν νῦν πανάριστον, οὗ ταῖς εὐχαῖς τῶν δεινῶν, ῥῦσαι καὶ φθορᾶς καὶ κινδύνων, καὶ ἐπιτυχεῖν Βασιλείας, σοῦ Υἱοῦ ἀξίωσον δεόμεθα.

**Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν κ.τ.λ.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΓΕΩΡΓΙΟΥ ΝΤΟΡΗ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

### ΜΗΤΡΟΦΑΝΟΥΣ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΝΑΥΠΛΙΟΥ
### ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ ΤΟΥ ΠΡΩΤΟΥ ΕΚ ΤΩΝ ΑΝΩΘΕΝ ΚΑΝΟΝΩΝ

Τλήμων, ταπεινός, εὐτελὴς ῥακενδύτης·
Μητροφάνης Ναύπλιος ἔξυσ' εὐτόνως
Πόνον τε μόχθον, τῆς δε συγγραφῆς ὅλον,
ὃν οἱ ᾄδοντες ἐν ψυχῆς καταστάσει
Μέμνησθέ μου βέλτιστοι ἀξιῶ πάνυ,
Ὅπως λάβοιμι ἀμπλακιῶν τὴν λύσιν
Ἐν ὥρᾳ φρικτῆς τῆς δίκης τοῦ Δεσπότου,
Προστασίαις ***Γερασίμου*** τοῦ ἐν Μαλᾷ
Ἄνακτι ***Χριστῷ*** δόξα, τιμὴ καὶ κράτος.

# ΥΜΝΟΣ ΕΠΙΤΑΦΙΟΣ

Ψαλλόμενος ἐν ταῖς ἀγρυπνίαις τῶν Ἑορτῶν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου, καὶ ἐν ταῖς λιτανείαις Τοῦ σεπτοῦ Λειψάνου Του.

Μακαρίζομέν σε, Μοναστῶν τὴν τερπνὴν καλλονήν, ὦ Θεοφόρε Γεράσιμε, καταστέφοντες τὴν μνήμην σου ᾠδαῖς.

**Μακάριοι ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι.**

Μακαρίζομέν σε, ἀσκητῶν τὴν λαμπρὰν καὶ ὁλόφωτον στολὴν χρηματίσαντα, σοῦ δοξάζοντες τὸς θείας ἀρετάς.

**Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς.**

Μακαρίζομέν σε, Ἱερέων φαιδρὸν καὶ θεόσδοτον τοῖς πέρασι καύχημα, τοὺς ἀγῶνάς σου γεραίροντες πιστῶς.

**Σὺ ἐνετείλω τὰς ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα.**

Μακαρίζομέν σε, Ἐκκλησίας Χριστοῦ τὸν φωστῆρα τὸν νεόλεκτον, Ὅσιε, καὶ νεόσδοτον θησαύρισμα πιστῶν,



**Ὤφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι**

Παιδιόθεν, Μάκαρ, ἀνετέθης Θεῷ καὶ τὸ τάλαντον αὐξήσας τῆς χάριτος ἐδοξάσθης παρ' αὐτοῦ πανευκλεῶς.

**Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλείπῃς.**

Τὰ σεπτά σου, Πάτερ, καὶ λαμπρὰ ὥσπερ φῶς, κατορθώματα πιστοῖς ἐπιστώθησαν, ἐν σπηλαίοις καὶ ἐρήμοις ἀληθῶς.

**Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ;**

Παῤῥησίαν ἔχων πρὸς Θεὸν ἀληθῶς, μὴ ἐλλείπῃς ἱκετεύειν, Γεράσιμε, λυτρωθῆναι συμφορῶν τῶν νῦν ἡμᾶς.

**Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με.**

Πολιτείας ὤφθης ἰσαγγέλου φωστήρ, ἀπαθείας τὴν στολὴν ἐνδυσάμενος, ὡς γὰρ ἄσαρκος ἐβίωσας ἐν γῇ.

**Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου.**

Καὶ νηστείαις, Μάκαρ, καὶ παννύχοις εὐχαῖς, καὶ ἁγνείᾳ, καὶ καρδίας εὐθύτητι, εὐηρέστησας πανσόφως τῷ Θεῷ.

**Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα.**

Τῆς ψυχῆς κοσμήσας τὴν λαμπάδα φαιδρῶς, ταῖς ἐνθέοις ἀρεταῖς κατηξίωσαι, τοῦ Νυμφίου τῆς χαρᾶς ἀπολαβεῖν.

**Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντί.**

Εἰ καὶ τάφῳ, Μάκαρ, κατετέθη τὸ σὸν ἀκραιφνέστατον καὶ Ἅγιον Σῶμα, ἀλλὰ ζῇ καὶ τὰς ἰάσεις χορηγεῖ.

**Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι.**

Τῶν Ἀγγέλων ὄντως μιμητὴς γεγονώς, σὺν αὐτοῖς νῦν ἐπαγάλλῃ γηθόμενος, θείαν δόξαν ἐποπτεύων τηλαυγῶς.

**Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου καὶ κατανοήσω.**

Εὐφροσύνης πάσης ἔμπλησον τοὺς πιστῶς προσιόντας τῇ σορῷ σου, Γεράσιμε, καὶ τιμῶντάς σου τὴν ἔνδοξον ταφήν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου.**

Ὡς ἐῤῥύσω, Μάκαρ, τὴν σὴν Νῆσον ἀεὶ συμφορῶν καὶ πειρασμῶν καὶ ἐκ θλίψεων, οὕτω πρόφθασον ἐν τάχει καὶ τανῦν.

**Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα.**

Ὁλοτρόπως, Πάτερ, ἀνετέθης Χριστῷ, καὶ Ἀγγέλων πολιτείαν ἐν σώματι, σὺ μετῆλθες, ὦ Γεράσιμε σοφέ.

**Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου. Κύριε.**

Σὺν Ἀγγέλοις, Μάκαρ, νῦν αὐλίζῃ σαφῶς, καὶ Ὁσίων καὶ δικαίων τοῖς τάγμασιν· ὡς ἐκεῖνοι γὰρ ἐβίωσας ἐν γῇ.

**Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον Βασιλέων.**

Σπεῦσον νῦν, παμμάκαρ, μὴ καταλείπῃς ἡμᾶς, σοὺς ἱκέτας, ἀλλὰ τάχος, Γεράσιμε, σὺ ἐξάρπασον ἡμᾶς τῆς νῦν φθορᾶς.

**Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.**

Ἡ σὴ Νῆσος, Πάτερ, σοὶ προστρέχει τανῦν. δεομένη καὶ θερμῶς ἱκετεύει σε, λυτρωθῆναι διὰ σοῦ τῶν συμφορῶν.

**Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι.**

Δέησιν Κυρίῳ ἐπικάμφθητι νῦν, τοῦ προσάξαι δι' ἡμᾶς, ὦ Γεράσιμε, ὅπως ῥύσηται ἡμᾶς τῶν νῦν κακῶν.

**Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ.**

Πρόφθασον καὶ σῶσον καταιγίδος ἡμᾶς, τῆς νῦν ἀπειλούσης, Γεράσιμε, τοὺς προσφεύγοντας τῇ σκέπῃ σου θερμῶς.

**Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω.**

Γερασίμου δέχου, τὰς λιτὰς ὁ Θεός, καὶ ἐλέησον τὸν κόσμον σου ἅπαντα, τὴν εἰρήνην παρεχόμενος πιστοῖς.



**Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας.**

Οἱ Κεφαλληναῖοι, σὲ προστάτην θερμόν, προβαλλόμεθα πρὸς Κύριον, Ὅσιε, ῥῦσαι ἅπαντας ἐκ κινδύνων σαῖς λιταῖς.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Δόξα σοι Θεέ μου, Παναγία Τριάς, ὁ Πατὴρ καὶ ὁ Υἱὸς σὺν τῷ Πνεύματι, σῶζε πάντας τοὺς ἐλπίζοντας εἰς σέ.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Μεγαλύνομέν σε, τὴν Μητέρα Θεοῦ, σὺ ἡμᾶς, Παρθένε, ἀξίωσον, βασιλείας οὐρανῶν ἐπιτυχεῖν.

**Καὶ πάλιν τὸ πρῶτον.**

Μακαρίζομέν σε Μοναστῶν τὴν τερπνὴν καλλονήν, ὦ Θεοφόρε Γεράσιμε, καταστέφοντες τὴν μνήμην σου ᾠδαῖς.

**Εἶτα συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις.**

**Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ ἐν ἁγίοις ἐπαναπαύει.**

---

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

---

Ἄξιον ἐστί, τὸν φωστῆρά σε τῆς Ἐκκλησίας, τὸν νεοφανέντα τοῖς ᾄσμασι καταστέφειν, ὦ Γεράσιμε σεπτῶς.

**Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με.**

Ἄξιον ἐστί, μακαρίζειν σε τὸν Θεοφόρον, τῶν πιστῶν τὸ νέον θησαύρισμα, καὶ πανάριστον ποιμένα Μοναστῶν.

**Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται.**

Ἄξιον ἐστί, σὲ Γεράσιμε, ὕμνοις γεραίρειν, πάσης τῆς Ἑλλάδος τὸ καύχημα, καὶ τὸ σκεῦος ἐκλογῆς τὸ θαυμαστόν.

**Γεννηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με.**

Ἄξιον ἐστίν, ὦ Θεόληπτε, ὑμνολογεῖν σε, τῆς Κεφαλληνίας τὸ καύχημα, φιλανθρώπως ἐκ Θεοῦ αὐτῇ δοθέν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως.**

Δέχου τὰς λιτάς, ὦ Γεράσιμε, τῶν σὲ τιμώντων καὶ Θεόν, παμμάκαρ, ἱκέτευσον ὑπὲρ πάντων τῶν τιμώντων σε πιστῶν.

**Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου;**

Ὥσπερ Ἀβραάμ, Ἰωσὴφ καὶ Ἐλισσαῖος, Μάκαρ, εὐλογίας πρόξενος γέγονας, καὶ ἐπλούτισας ἡμᾶς σαῖς δωρεαῖς.

**Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια.**

Ἔφησε ποτέ, θείῳ πνεύματι ὁ Προφητάναξ, δίκαιος ὡς φοίνιξ ἀνθήσεται, ἐν τῷ οἴκῳ φυτευθεὶς τῷ τοῦ Θεοῦ.

**Κατὰ τὸ ἔλεος ζῆσόν με καὶ φυλάξω τὰ μαρτύριά σου.**

Ξύλον φυτευθέν, τῶν ὑδάτων ἐν ταῖς διεξόδοις, σὺ ἐδείχθης, Μάκαρ Γεράσιμε, καὶ ἐβλάστησας καρποὺς ἀειθαλεῖς.

**Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα.**

Ζῶσι τῷ Χριστῷ ὄντως δίκαιοι εἰς τὸν αἰῶνα, ζῇς καὶ σύ, Θεόφρον Γεράσιμε, αὐλιζόμενος δικαίων τοῖς χοροῖς.

**Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων.**

Ὕπνωσας ἐν γῇ, ἀλλ' ἀθάνατον εὔκλειαν, Μάκαρ, εἴληφας, Γεράσιμε πάντιμε, πρὸς Θεοῦ τοῦ ζῶντος ἐν οὐρανοῖς.

**Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.**

Μακάριος ἀνήρ, ὁ Γεράσιμος, ὃς οὐκ ἀπῆλθεν ἐν βουλῇ ἀνόμων, ὡς γέγραπται· ὅθεν εἴληφε τὰ γέρα πρὸς Θεοῦ.

**Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με.**

Γέρα πρὸς Θεοῦ, ὄντως εἴληφας Ὅσιε Πάτερ, πάντων θεραπεύειν νοσήματα, τῶν τιμώντων σου τὴν ἔνδοξον ταφήν.

**Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου.**

Ἡμέρας καὶ νυκτός, μελετήσας ἐντολὰς Κυρίου ἐπορεύθης, Μάκαρ Γεράσιμε, θείας τρίβους τῷ Κυρίῳ ἀκλινῶς.



**Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα.**

Δεῦτε νῦν πιστῶς, καὶ προσπέσωμεν τῷ Γερασίμῳ, ὅπως καὶ τανῦν προφθάσῃ καὶ ῥύσηται, ἀπειλούσης ἡμᾶς βλάβης τοῦ ἐχθροῦ.

**Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι.**

Ἄλλον ἐκτὸς σοῦ, οὐ δυνάμεθα εὑρεῖν προστάτην καὶ πρὸς Θεὸν μεσίτην θερμότερον, ἵνα φύγωμεν ἐνέδρας τοῦ πονηροῦ.

**Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου.**

Ζάλη πειρασμῶν, ἀπειλεῖ ἡμᾶς, τοὺς σοὺς ἱκέτας, ἐλευθερωτὴν δὲ ἄλλον οὐκ οἴδαμεν, εἰμὴ τὴν δεξιάν σου τὴν κραταιάν.

**Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα.**

Πέτασον ἡμῖν, σκέπην κραταιὰν τῶν σῶν πτερύγων, ὅπως δυνηθῶμεν βέλη ἐκφυγεῖν τοῦ ἐχθροῦ, καὶ γεραίρειν σε, Γεράσιμε, θερμῶς.

**Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου.**

Νέος ἀληθῶς σὺ ἀνέτειλας τῇ Ἐκκλησίᾳ καὶ λαμπρὸς ἀστὴρ τοὺς πάντας, Γεράσιμε, καταυγάζων καὶ φωτίζων εὐσεβεῖς.

**Παρανόμους ἐμίσησα, τὸν δὲ Νόμον σου ἠγάπησα.**

Ἄδει σὺν ἡμῖν καὶ γεραίρει σου τὴν μνήμην, Μάκαρ, ἀστίφη νοερῶν στρατιῶν εὐφημοῦντά σε, καὶ δοξάζοντα τὸν Κύριον φαιδρῶς.

**Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.**

Ὅλον σεαυτὸν ὡς ἀνέθηκας τῷ Ποιητῇ σου, οὕτω καὶ αὐτὸς μεγάλως σ' ἐδόξασε καὶ ἐτίμησε, Γεράσιμε λαμπρῶς.

**Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν.**

Ἄλλον Μωϋσῆν, καὶ Ἠλίαν σ' ἔδειξε, Παμμάκαρ, τεσσαρακονθήμερον νηστείας στάδιον, καὶ μεγάλως ἐδοξάσθης παρὰ Θεοῦ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα.**

Δεῦτε οἱ πιστοὶ εὐφημήσωμεν ᾄσμασι θείοις μνήμην Γερασίμου τοῦ Μάκαρος, ἵνα σχῶμεν ἄφεσιν παρὰ Θεοῦ.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Ἄναρχε Τριάς, ὁμοούσιε Μονὰς Ἁγία, οὐρανίου πάντας ἀξίωσον βασιλείας, Γερασίμου ταῖς λιταῖς

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Πάντες οἱ πιστοί, μακαρίσωμεν τὴν Θεοτόκον, τὴν τὸν πάντων Κτίστην κυήσασαν καὶ λυτρώσασαν τῆς πλάνης τοὺς βροτούς.

**Καὶ πάλιν τὸ πρῶτον.**

Ἄξιον ἐστί, τὸν φωστῆρά σε τῆς Ἐκκλησίας, τὸν νεοφανέντα, τοῖς ᾄσμασι καταστέφειν, ὦ Γεράσιμε, σεπτῶς.

**Εἶτα συναπτὴ μικρὰ καὶ ἡ ἐκφώνησις**
**Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον.**

---

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

---

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Γεράσιμε Θεόφρον.

**Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ κρῖμα.**

Γεράσιμε Θεόφρον, ἱλέωσαι τὸν Κτίστην ὑπὲρ τῶν σὲ τιμώντων.

**Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου.**

Ὑπὲρ τῶν σὲ ὑμνούντων, Γεράσιμε, μὴ παύσῃ πρὸς Κύριον πρεσβεύειν.

**Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου.**

Περίσωζε τοὺς πίστει, καὶ πόθῳ σὲ ὑμνοῦντας, Γεράσιμε τρισμάκαρ.



**Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖαι αἱ κρίσεις σου.**

Γεράσιμε τρισμάκαρ, προσδέχου ἱκεσίας τῶν σὲ ἀνευφημούντων.

**Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου.**

Εἰρήνην δωρηθῆναι, τοῖς σὲ ἀνευφημοῦσι, Γεράσιμε, δυσώπει.

**Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα.**

Τὴν στενήν, τρισμάκαρ, ὁδὸν καὶ τεθλιμμένην διώδευσας Κυρίου.

**Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου.**

Ἔχοντές σε πρέσβυν πρὸς τὸν Θεόν, παμμάκαρ, λυτρούμεθα κινδύνων.

**Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου.**

Λυτρούμεθα κινδύνων σαῖς πανευπροσδέκτοις πρὸς Κύριον πρεσβείαις.

**Ἴδε τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με**

Τίς ἐξείπει, Μάκαρ, σοὺς σεπτοὺς ἀγῶνας, οὓς ἔτλης ἐν τῷ βίῳ.

**Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία.**

Ἀγγέλων ἐμιμήσω τὴν πολιτείαν, Μάκαρ, ἀσκήσας ὑπὲρ φύσιν.

**Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου.**

Ἀσκητῶν οἱ δῆμοι, ἐθαύμασαν, Θεόφρον, σὴν θείαν πολιτείαν,

**Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε ἐν τῷ ἐλέει σου.**

Γεράσιμε, λιταῖς σου δώρησαι σοῖς δούλοις πλημμελημάτων λύσιν.

ΕΘΝΙΚΗ ΣΥΛΛΟΓΗ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Ἄρχοντες κατεδίωξάν με δωρεὰν καὶ ἀπὸ τῶν λόγων σου**

Ὅλη προθυμίᾳ συντρέχει ἡ σὴ Νῆσος ὑμνῆσαι τὴν ταφήν σου.

**Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων.**

Συντρέχει καὶ τὰ πλήθη, Ἀγγέλων εὐφημῆσαι, Γεράσιμε, σὴν μνήμην.

**Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην.**

Ἡμᾶς τοὺς σοὺς ἱκέτας συντήρησον ἀτρώτους βελῶν τῶν τοῦ βελίαρ.

**Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα.**

Σπεῦσον ἡμᾶς σῶσαι, Γεράσιμε, σοὺς δούλους ἀνάγκης ἐνεστώσης.

**Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν.**

Ὅλη προθυμίᾳ προστρέχομεν Σορῷ σου, κακῶν αἰτοῦντες λύσιν.

**Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε.**

Οὐδεὶς ἰσχύει σῶσαι τῆς νῦν ἡμᾶς ἀνάγκης, ἐὰν σὺ μὴ προφθάσῃς.

**Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με.**

Πρόφθασον οὖν τάχος καὶ λύτρωσαι σὴν ποίμνην κινδύνου ἐνεστῶτος.

**Ἐπεπόθησα τὸ σωτήριόν σου, Κύριε.**

Ἐκ τῶν ἐνεδρευόντων, Γεράσιμε τρισμάκαρ, τήνδε σὴν ποίμνην τήρει.

**Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε.**

Σύντριψον τὰς μύλας, ζητούντων ἀφανίσαι, Γεράσιμε, σοὺς πόνους.



**Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον.**

Δέχου, ὦ Θεέ μου, Γεράσιμον σὸν δοῦλον ὑπὲρ λαοῦ σου πρέσβυν.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Τριὰς ὑπεραγία, εἰρήνευσον τὸν Κόσμον λιταῖς τοῦ Γερασίμου.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.**

Εἰρήνην Ἐκκλησίαις, τῷ Κόσμῳ σωτηρίαν, δώρησαι, Θεοτόκε.

**Καὶ πάλιν τὸ πρῶτον.**

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, Γεράσιμε Θεόφρον.

**Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις.**

**Καὶ εὐθὺς τὰ Εὐλογητάρια**

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὸν Ὅσιόν σου μέλψαι.**

Τῶν Ἀγγέλων τὰ πλήθη, καὶ ἀνθρώπων τὸ γένος, ἐκπλαγέντα βοῶσι, πρὸς θανάτου τὴν φθορὰν ὁ Γεράσιμος βαίνει καὶ μετὰ νεκρῶν ὁρᾶται πῶς θάπτεται, ἀλλὰ μένει καὶ ζῇ ἐνεργῶν ἰάματα.

**Εὐλογητὸς εἶ. Κύριε, δίδαξόν με Γεράσιμον ὑμνῆσαι**

Τί δακρύων ὀχετοὺς προχέετε, ὦ Μονάζουσαι, πρὸς Θεοφόρον; τί θαμβεῖσθε τῶν ἀνθρώπων ἡ πληθύς, τὸν Γεράσιμον βλέποντες ζῶντα; οὕτω γὰρ Θεὸς δοξάζει τοὺς δούλους αὐτοῦ καὶ εἰς γῆν καὶ οὐρανὸν καὶ πᾶσι τοῖς πέρασι.

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὸν Ὅσιόν σου μέλψαι.**

Λίαν θερμός, ὁ Θεόφρων δείκνυται, πρὸς τοὺς πάσχοντας ἐν ἀσθενείαις, καὶ δαιμόνων ἀφανίζει τὴν πληθύν, εἰς τὴν ἄβυσσον αὐτοὺς ἐκπέμπων· δεῦτε καὶ ἡμεῖς συμφώνως βοήσωμεν, βοηθὸς ἡμῖν γενοῦ, Ἅγιε Γεράσιμε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με
Γεράσιμον ὑμνῆσαι.**

Μυροθήκη Λειψάνου, ὑπὲρ νάρδον καὶ σμύρναν, σοῦ Γεράσιμε, εὐωδιάζει· πρὸς αὐτὸ γὰρ ἐνεργοῦσιν Ἄγγελοι, ἐκπληττόμενοι ἀναβοῶντες· τί οὖν ὡς νεκρὸν τὸν ζῶντα λογίζεσθε; οὗτος ζῇ καὶ θανών, εἰ καὶ ἄπνους φαίνεται.

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με.
Τὸν Ὅσιόν σου μέλψαι.**

Ὡσεὶ σκύμνοι λεόντων, ἐνεδρεύουσι Πάτερ, τὴν Μονήν σου σπαράξαι, τοὺς καμάτους δὲ τοὺς σοὺς ἀπολέσαι εἰς τέλος, σὺ δὲ νοερῶς, τὰς βουλὰς αὐτῶν ἐξαφάνισον, καὶ τὴν ποίμνην σου διατήρησον.

**Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με
Γεράσιμον ὑμνῆσαι**

Τῶν Ἁγίων χορεῖαι, ὡς ἐδέχθησαν Μάκαρ, ἐν οὐρανῷ σε προσθήκην, ἱλαρῶς τανῦν, καὶ σὺ τὴν προσθήκην τοῖς ὕμνοις, καὶ τὸν ἱλασμὸν πρὸς Θεοῦ Γεράσιμε, ὑμνηταῖς σου πᾶσι κατάπεμψον.

**Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν Ἄναρχον Λόγον, ἐξ αὐτοῦ γεννηθέντα, καὶ τὸ Πνεῦμα τὸ θεῖον ἐκ Πατρὸς ἐκπορευθέν, τὴν Ζωοποιὸν Τριάδα ὑμνήσωμεν, καὶ δοξάζοντες αὐτὴν πίστει προσκυνήσωμεν.

**Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.**

Θεοτόκε Παρθένε, τὸν Υἱὸν καὶ Θεόν σου, ἐν γαστρὶ συλλαβοῦσα, καὶ τεκοῦσα ἀφράστως, ἐξ ἁγνῶν σου λαγόνων, τοῦτον ταῖς λιταῖς Γερασίμου Ἄχραντε, πρέσβευε, ὅπως ἡμῖν, ἵλεως γενήσεται.

**Ἀλληλούϊα. Ἀλληλούϊα, Ἀλληλούϊα
δόξα σοι ὁ Θεός. Ἐκ τρίτου.
Αἴτησις καὶ ἡ ἐκφώνησις, Ὅτι ηὐλόγηται . . .
καὶ Ἀπόλυσις.**

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ

## ΨΑΛΛΟΜΕΝΟΙ ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

# ΓΕΡΑΣΙΜΟΝ

## ΠΡΟΣΤΑΤΗΝ ΤΗΣ ΝΗΣΟΥ ΚΕΦΑΛΛΗΝΙΑΣ

**Τροπάριον. Ἦχος πλ. δ' πρὸς τὸ
Τῇ Ὑπερμάχῳ.**

Ὡς ἀντιλήπτωρ καὶ θερμὸς προστάτης, ἔνδοξε,
Ἀεὶ προφθάνεις βοηθὸς ἐν περιστάσεσι·
Διὸ ᾄσμασι, Γεράσιμε Θεοφόρε,
Εὐφημοῦμέν σε πιστῶς καὶ ἐπιγράφομεν,
Τῆς σῆς Νήσου τὸν προστάτην συμπαθέστατον,
Ἀνακράζοντες· Χαίροις Πάτερ Γεράσιμε.

**Οἶκος.**

Ἄγγελος Οὐρανόφρων ἐγνωρίσθης ἐν κόσμῳ, Γεράσιμε, ὡς ἄϋλος βιώσας, τὸ δὲ Σῶμά σου ἄφθαρτον μένον, καὶ εὐωδίαν βλύζον ἀένναον ἐξιστᾷ τοὺς ὁρῶντας, καὶ πείθει βοᾶν πρὸς σὲ ταῦτα·

Χαῖρε ἡ δόξα τῶν ἱερέων,
Χαῖρε τὸ κλέος τῶν μοναζόντων.
Χαῖρε τῶν Ἁγίων ἀγγέλων ὁ σύσκηνος,
Χαῖρε τῆς Τριάδος ὁ οἶκος ὁ πάντερπνος.
Χαῖρε ὕψος θείας γνώσεως δυσερμήνευτον πολλοῖς,
Χαῖρε βάθος ταπεινώσεως δυσαντίβλεπτον βροτοῖς.
Χαῖρε ὅτι ὠράθης θεωρίας ἀκρότης,
Χαῖρε ὅτι ἐφάνης πρακτικῆς ποδηγέτης.
Χαῖρε Κεφαλληνίας ἀδιάσειτος στύλος,
Χαῖρε ὁ τοῦ Κυρίου γνησιώτατος φίλος.
Χαῖρε λαμπτὴρ εὐσεβοῦς ἀληθείας,
Χαῖρε σφραγὶς νεαρᾶς ἐργασίας.
Χαῖρε Πάτερ Γεράσιμε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Βλέπουσα Κεφαλλήνων ἡ περίφημος Νῆσος τὸ θαῦμα τοῦ σεπτοῦ σου Λειψάνου, σὺν πόθῳ τὴν ἀέναον χάριν καὶ ἰάσεων παροχὴν γεραίρει σου. Γεράσιμε, βοῶσα πρὸς Θεὸν τὸν ὕμνον.

**Ἀλληλούϊα.**

Γνῶσιν ἔνθεον ἔχων, τῶν Ὁσίων ἀκρότης, ἀνέδραμες πρὸς γῆν τῆς ἐπαγγελίας, καὶ ἐν ἐρήμῳ τεσσαράκοντα ἡμέρας ἄσιτος μείνας, ἔλαβες τὴν χάριν προορᾶν τὰ μέλλοντα καὶ παρ' ἡμῶν ἀκούεις·

Χαῖρε ὁ μῦρα ἐκ τῆς σοροῦ σου βρύων,
Χαῖρε ὁ ζῆλον ἐν καρδίᾳ σου φέρων.
Χαῖρε Ὁσίων τῶν σεπτῶν ἡ ἀκρότης,
Χαῖρε ἁγίων καθαρῶν ἡ λαμπρότης.
Χαῖρε χοροστασίαις τῶν ἀγγέλων οἰκήσας,
Χαῖρε τοῦ Παραδείσου τῆς τρυφῆς ἀπολαύσας.
Χαῖρε ὁ ζῶν ψυχῇ σου καὶ θανὼν ἐν τῷ σώματι,
Χαῖρε ὁ τὴν ζωήν σου ἐν οὐρανοῦ ἔχων δώματι.
Χαῖρε ὁ τὴν Αἱμόῤῥουν ὑγειάνας τοῦ πάθους,
Χαῖρε ὁ τὴν γυναῖκα ἐξελκύσας τοῦ βάθους.
Χαῖρε τῶν ἐν θαλάσσῃ ὁδηγὸς καὶ προστάτης,
Χαῖρε τῶν ἐν κινδύνοις σωτηρία καὶ ῥύστης.
Χαῖρε Πάτερ Γεράσιμε.

Δύναμις οὐρανόθεν σοὶ ἐδόθη, τρισμάκαρ Γεράσιμε, ἄσιτος διαμένων, κολοκύνθῃ μόνῃ χρώμενος, τοῦ πνεύματος πρόνοιαν ποιῶν, οὐ σώματος ἐπίδοσιν ζητῶν, καὶ λέγων·

**Ἀλληλούϊα.**

Ἔχουσα πολιοῦχον καὶ φωστῆρά σε μέγαν Κεφαλληνία ἐγκαυχᾶται ἐπὶ σοὶ μέγα, καὶ γηθομένη πνεύματος, βοᾷ σοι ψάλλουσα ταῦτα·

Χαῖρε θαυμάτων πηγὴ ἀνεξάντλητος,
Χαῖρε δογμάτων ὀρθῶν φύλαξ ἄγρυπνος.
Χαῖρε λυπουμένων ταχεῖα παράκλησις,
Χαῖρε πλανωμένων ἑτοίμη ἀνάκλησις.
Χαῖρε λύχνε διακρίσεως, ἀπαστράπτων ἐμφανῶς,



Χαῖρε ἄστρον διοράσεως, καταυγάζων τηλαυγῶς.
Χαῖρε πηγὴ θαυμάτων ἀκένωτος,
Χαῖρε πληγὴ δαιμόνων ἀνίατος.
Χαῖρε τῆς ἐγκρατείας ὁ σοφὸς παραινέτης,
Χαῖρε τῆς ἀκρασίας ὁ ταχὺς ἀναιρέτης.
Χαῖρε Χριστοῦ τὸ θεῖον ὀσφράδιον,
Χαῖρε πιστῶν τὸ μέγα προπύργιον.
Χαῖρε Πάτερ Γεράσιμε.

Ζάλην πᾶσαν τοῦ κόσμου ἐκφυγών, Θεομάκαρ, ἡσύχασας Ὁμαλῶν ἐν τῷ ὄρει καὶ θαυμάτων πλήθη ἐνεργῶν διέσωσας πρὸς ὅρμον γαληνὸν Μοναστρίας, τῆς ἄνω Βασιλείας. κράζων·

**Ἀλληλούϊα.**

Ἤκουσαν ἐκ περάτων Γερασίμου τὰ ξένα θαύματα, ἃ τελεῖ καθ' ἑκάστην, καὶ δραμόντες οἱ νοσοῦντες, τούτου τὰ σεπτὰ ἔβλεπον πάσῃ τῇ γῇ θαυμάσια πηγάζοντα, ὃν καὶ τιμῶντες εἶπον·

Χαῖρε ὁ ἀνταλλάξας φθαρτῶν τὰ οὐράνια,
Χαῖρε ὁ καταῤῥάξας δαιμόνων φρυάγματα.
Χαῖρε ὁ συνεδριάζων τοῖς ἀΰλοις ἀγγέλοις,
Χαῖρε ὁ συγχορεύων ἀπ' αἰώνων ἁγίοις.
Χαῖρε σοφῶν ἀγγέλων ὁ θερμότατος σύνδουλος,
Χαῖρε τῶν μοναζόντων ἐμφρονέστατος σύμβουλος.
Χαῖρε ὁσίων τῶν σεπτῶν ἐγκαλλώπισμα,
Χαῖρε πατέρων τὸ λαμπρὸν ἀγαλλίαμα.
Χαῖρε στεῤῥὸν παθῶν ἀποτρόπαιον,
Χαῖρε Θεοῦ ὁ φέρων τὸ τρόπαιον.
Χαῖρε σοφῶν ὑπερβαίνων τὴν γνῶσιν,
Χαῖρε πιστῶν καταυγάζων τὰς φρένας.
Χαῖρε Πάτερ Γεράσιμε.

Θεοφόρον νομίζων τὸν Γεράσιμον εἶναι θερμός τις νεανίας, ἐν πίστει δι' αὐτοῦ ἐρρύσθη δαίμονος, καὶ λαβὼν μὲν τὴν λύτρωσιν ἐχάρη πρὸς αὐτόν, κραυγάζων μετὰ πόθου ἔνθους τῷ Σωτῆρι·

**Ἀλληλούϊα.**

Ἰθυνάς σου τὸν βίον πρὸς οὐράνιον δρόμον, Γεράσιμε, ὁσίων τὸ κλέος, δι' ἀσκήσεως ὑψηλῆς καὶ ἀγωγῆς ἐνθέου, πρὸς ὃν ἑπόμενοι ἡμεῖς βοῶμέν σοι ἐκ πόθου ταῦτα·

Χαῖρε ἡ στάθμη τῆς ἐγκρατείας,
Χαῖρε ὁ λύχνος τῆς εὐσεβείας.
Χαῖρε τῆς ἀσκήσεως ἔμψυχον ἄγαλμα,
Χαῖρε τοῦ μονήρους βίου ἐκτύπωμα.
Χαῖρε ὁ ἀκρότατος ὅρος παρθενίας ἀληθοῦς,
Χαῖρε ὁ θειότατος τύπος θεωρίας εὐαγοῦς.
Χαῖρε ἀκτημοσύνης ὁ λαμπρὸς εἰσηγήτωρ,
Χαῖρε ἁγιωσύνης ὁ σοφὸς παρακλήτωρ.
Χαῖρε κανὼν τῆς νηστείας ἰσάγγελος,
Χαῖρε εἰκὼν ἁγνείας θεόσδοτος
Χαῖρε ὀρθῆς πολιτείας ὁ γνώμων,
Χαῖρε σοφῆς προμηθείας νοήμων.
Χαῖρε Πάτερ Γεράσιμε.

Κόσμον ἡδυπαθείας καὶ σαρκὸς προμηθείας ἠλόγησας, Γεράσιμε Μάκαρ· κολοκύνθιον δὲ τροφὴν ὑδροποτῶν ἔσχες καὶ πενιχρὸν ἱμάτιον, ψυχῆς μόνον ἐπιμελούμενος καὶ λέγων·

**Ἀλληλούϊα.**

Λόγοις ἐν τῇ ζωῇ σου τὴν σὴν ποίμνην ἐκθρέψας, ὡδήγησας ζωῆς ἐπὶ χλόην, μετὰ πότμον δὲ πάλιν, οἷα πατὴρ φιλόστοργος, θαύμασι παραδόξως στηρίζεις, ἰώμενος τοὺς πάσχοντας δεινῶς, ἀνθ' ὧν βοῶσι·

Χαῖρε λαμπρὸν Τριάδος κειμήλιον,
Χαῖρε τερπνὸν ἁγνείας θησαύρισμα.
Χαῖρε ὁ πρὸ θανάτου τελῶν τὰ θαυμάσια,
Χαῖρε ὁ μετὰ πότμον ἐνεργῶν τὰ τεράστια.
Χαῖρε ὡς νεκρὸς ἐν θήκῃ σου κείμενος,
Χαῖρε ὥσπερ ζῶν ἐν πόλῳ ἑλκόμενος.
Χαῖρε ὃν ἀνυμνοῦσι Κεφαλλήνων τὰ πλήθη,
Χαῖρε ὃν εὐφημοῦσι μοναζόντων τὰ στίφη.
Χαῖρε λαμπτὴρ ἐν τῷ μέσῳ Ὁσίων,
Χαῖρε βολὶς τῶν ἐνθέων χαρίτων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



Χαῖρε ἀμαράντινον δεξάμενος στέφανον,
Χαῖρε τὸν ἀοίδιμον κληρωσάμενος θάλαμον.
Χαῖρε Πάτερ Γεράσιμε.

Μέλλων Σύ, ὦ Τρισμάκαρ, ἐκ ζωῆς τῆς προσκαίρου μεθίστασθαι πρὸς μονὰς οὐρανίους, κλίνας γόνυ, εὐχόμενος ἐκτενῶς, τὸ πνεῦμά σου χερσὶ Θεοῦ παρέθου, δι' ὅπερ ἐξεπλάγησαν οἱ βλέποντες καὶ ᾖδον·

**Ἀλληλούϊα.**

Νέον ᾆσμα εὑρόντες λιγυρὸν Γερασίμου, βοῶμεν τὰ ἐφύμνια τούτῳ, ῥώννυσι γὰρ νοσοῦντας, δαιμονῶντας ἰᾶται, καὶ πᾶσι τὰ αἰτήματα δωρεὰν νέμει, ᾧ πάντες εὐλαβῶς βοῶμεν.

Χαῖρε ὁ διαπτύσας τὰ ἡδέα τοῦ βίου,
Χαῖρε ὁ διαλύσας τὰ πικρὰ τῶν ἐν βίῳ.
Χαῖρε ὁ πηγὴν θαυμάτων τὸ σῶμά σου δείξας,
Χαῖρε ὁ τὴν σὴν ψυχὴν μετ' Ἀγγέλων συμμίξας.
Χαῖρε ὅτι ἐφρόνεις τὰ Χριστοῦ καὶ Θεοῦ σου,
Χαῖρε ὅτι ἐπόθεις τὰ τερπνὰ παραδείσου.
Χαῖρε δρόμον οὐρανοῦ ὑψιβάτης φοιτήσας,
Χαῖρε δόμους καθαροὺς ἐν ὑψίστοις οἰκήσας.
Χαῖρε ὅτι ἀγγέλους συμπολίτας νῦν ἔχεις.
Χαῖρε ὅτι ἁγίους συνοδίτας νῦν ἔχεις.
Χαῖρε δι' οὗ εὐσεβεῖς φωταυγοῦνται.
Χαῖρε δι' οὗ ἀσεβεῖς πυρπολοῦνται.
Χαῖρε Πάτερ Γεράσιμε.

Ξένον θαῦμα ὁρῶμεν πολυχρόνιον νέκυν ὡς ζῶντα νῦν ἐν θήκῃ τελοῦντα, διὰ τούτου γὰρ ὁ ὑψηλὸς Θεὸς τοῖς ἐν γῇ οἰκοῦσιν εὐπίστως δέδωκε διώκειν τὰ δαιμόνια, πρὸς ὃν βοῶμεν·

**Ἀλληλούϊα.**

Ὅλος ἦν ἐν τοῖς κάτω τῇ σαρκί, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν τῇ ψυχῇ ὁ Γεράσιμος· ὄντως θαῦμα πάντα νοῦν καὶ ἀκοὴν ἐκπλῆττον· δι' ὅπερ ἐκπληττόμενοι βοῶμεν πρὸς αὐτὸν τοιαῦτα·

Χαῖρε σοφίας Θεοῦ ὁ πλήρης,
Χαῖρε προνοίας αὐτοῦ ὁ μύστης.
Χαῖρε ῥήτωρ θεοδίδακτε, πρὸς Χριστοῦ ἐκδιδαχθείς,
Χαῖρε ῥεῖθρα τῶν ἰάσεων ὁ πηγάζων τοῖς πιστοῖς.
Χαῖρε ὁ πρὸ θανάτου καθαρῶς βιωτεύσας,
Χαῖρε ὁ μετὰ πότμον πρὸς Θεὸν ἐκδημήσας.
Χαῖρε ἐν ᾧ ἡ λάμψις Θεοῦ ἐνίδρυσε,
Χαῖρε ἐν ᾧ ἡ χάρις αὐτοῦ ἐνῴκησε.
Χαῖρε τῶν εὐσεβούντων ἡ ὀρθόδοξος στάθμη,
Χαῖρε τῶν ἀπιστούντων ἡ ὀξύθυμος σπάθη.
Χαῖρε ὁ ἀναστέλλων τῶν δαιμόνων μανίας,
Χαῖρε ὁ ἀνατέλλων τῶν θαυμάτων ἀκτίνας
Χαῖρε Πάτερ Γεράσιμε.

Πᾶσαν χάριν ἐδέξω οὐρανόθεν, τρισμάκαρ Γεράσιμε, τὰ θαυμάσια πράττειν· ἐνασκήσας γὰρ καλῶς, ὥσπερ ἄσαρκος, ὅροι σοι φύσεως εἴρηκαν, ἀλώβητον τὸ σῶμά σου μένει εἰσέτι, ἰώμενον τοὺς μέλποντας·

**Ἀλληλούϊα.**

Ρωμαλέος προστάτης τῆς Χριστοῦ Ἐκκλησίας, ἐδείχθης, ὦ Γεράσιμε μάκαρ, καὶ λαοῦ πιστοῦ ὑπέρμαχος μέγας· γνωρίζεις γὰρ πάντοτε δεινῶν πολλῶν λυτροῦσθαι τοὺς σοὶ καταφεύγοντας καὶ συγκινεῖς αὐτοὺς βοᾶν σοι.

Χαῖρε λαοῦ εὐσεβοῦς τὸ τεῖχος,
Χαῖρε ἐθνῶν χριστωνύμων τὸ σθένος.
Χαῖρε στερρὸν μοναστῶν τὸ ἐνίσχυμα,
Χαῖρε λαμπρὸν Ἱερέων τὸ καύχημα.
Χαῖρε τοῖς ὑμνηταῖς σου πᾶσαν χάριν πορίζων.
Χαῖρε τοῖς ἀσθενοῦσι πᾶσαν ἴασιν νέμων.
Χαῖρε ἔνθεος στήλη τῶν χαρίτων ὑπάρχων,
Χαῖρε θείᾳ δυνάμει τῶν δαιμόνων κατάρχων.
Χαῖρε ἁγνὸν Θεοῦ οἰκητήριον,
Χαῖρε σεμνὸν Χριστοῦ τὸ εὐλόγιον.
Χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας,
Χαῖρε τρυφὴ τῆς πιστῶν εὐωχίας.
Χαῖρε Πάτερ Γεράσιμε.



Σῶσον πάντας τοὺς πόθῳ σοῦ τὴν μνήμην τελοῦντας, καὶ θεῖόν σου χαρακτῆρα τιμῶντας, ἐκ βλάβης πάσης καὶ συμφορῶν λυτρούμενος, καὶ σώζειν προσκαλούμενος τοὺς τῷ Θεῷ βοῶντας.

**Ἀλληλούϊα.**

Τεῖχος Κεφαλληνία κεκτημένη σε, Πάτερ ὑπὲρ πάντων τῶν εἰς σὲ προστρεχόντων, λοιμοῦ, σεισμοῦ ῥυόμενος, καὶ πᾶσι προφθάνων ἐν πᾶσι, διὸ βοῶμεν πρὸς σὲ εὐχαρίστως ταῦτα·

Χαῖρε θνητῶν ἀθανάτων νέκταρ,
Χαῖρε βροτῶν ἀνθηφόρον ἔαρ.
Χαῖρε λυπουμένων ἑτοίμη παράκλησις,
Χαῖρε πλανωμένων ταχεῖα ἀνάκλησις.
Χαῖρε πάντων εὐδυσώπητος πρὸς Θεὸν διαλλαγή,
Χαῖρε πάντων εὐσυμπάθητος λυπηρῶν ἀπαλλαγή.
Χαῖρε τῶν νοσημάτων εὐσεβῶν ἡ ὑγεία.
Χαῖρε τῶν μολυσμάτων τῶν αὐτῶν ἡ ἁγνεία.
Χαῖρε πιπτόντων μέγα διάσωσμα.
Χαῖρε πταιόντων θεῖον ἐξίλασμα.
Χαῖρε ἡμῖν χαρίζων σῶν χαρίτων πέλαγος,
Χαῖρε πᾶσι πορίζων σῶν θαυμάτων ἔλεος.
Χαῖρε Πάτερ Γεράσιμε.

Ὕμνον ἅπαντες, Μάκαρ, τῇ σορῷ Σοῦ λειψάνου προσφέρομεν, Γεράσιμε Θεοφόρε, δακρυρρόους δὲ ᾠδὰς πρόσδεξαι εἰς ἀμοιβὴν χαρίτων σου· διὸ τὴν πίστιν δέξαι ἡμῶν, τῶν μετὰ σοῦ βοώντων·

**Ἀλληλούϊα.**

Φωτοφόρος ἡ θήκη τοῦ σεπτοῦ σου λειψάνου δείκνυται, ὦ Γεράσιμε Πάτερ, τὴν χάριν ὥσπερ φῶς ἡ ἐξανάπτουσα καὶ τοῖς προσιοῦσι χαρὰν καὶ ὑγείαν ἄφνω ἀποδιδοῦσα πέμπει, ἡμεῖς δ' ἀσπαζόμενοι ταύτην βοῶμεν·

Χαῖρε ὁ ὑμνολόγους εὑρὼν ἐν τῷ τάφῳ σου,
Χαῖρε ὁ ψευδολόγους θανατῶν ἐν τῷ κράτει σου.
Χαῖρε ἡμῖν χαρίζων χαρίτων σου πέλαγος,
Χαῖρε πᾶσι πορίζων τοῦ σοῦ μύρου τὸ ἔλεος.

Χαῖρε τῶν προσφευγόντων σοι ἀσφαλὲς παραμύθιον,
Χαῖρε τῶν προσιόντων σοι τῆς ψυχῆς σωτήριον,
Χαῖρε βλάβην δαιμόνων ἐκ τῆς νήσου διώξας,
Χαῖρε τούτων ἐνέδρας πονηρὰς καταργήσας.
Χαῖρε ὁ τῶν βαρβάρων καταβάλλων τὸ θράσος.
Χαῖρε ὁ τῶν δαιμόνων ἐκμειώσας τὸ σκότος.
Χαῖρε πύργος ὁ φθάνων πρὸς οὐράνιον ὕψος,
Χαῖρε τεῖχος διεῖργον ἀντιπάλων τὸ νεῖκος.
Χαῖρε Πάτερ Γεράσιμε.

Χάριν ἄνωθεν ἔχων, ὦ Γεράσιμε, πάσας ἐδίωξας ἐχθρῶν τὰς ἐνέδρας, καὶ τὴν νῆσον ἐκ νόσου λοιμικῆς ἔσωσας, ἐν πελάγει δὲ χέρσῳ προφθάνεις τοὺς καλοῦντάς σε, λυτρούμενος ἅπαντας δεινῶν, τοὺς τῷ Θεῷ βοῶντας·

**Ἀλληλούϊα**

Ψάλλοντές σου τὸν ὕμνον, παναοίδιμε Πάτερ, κυκλοῦμεν τὴν ἁγίαν Σορόν σου, θαυμάτων χάριν βρύουσαν τοῖς πίστει προσιοῦσι· διὸ πόθῳ προστρέχοντες πρὸς σὲ βοῶμεν·

Χαῖρε ψυχὴν πρὸς Θεὸν ὁ ἐκτείνας,
Χαῖρε τὰς ὁρμὰς τῆς σαρκὸς ἀναστείλας.
Χαῖρε τῶν παρόντων παριδὼν ὡς μὴ ὄντων,
Χαῖρε ὁ τῶν μελλόντων φροντιστὴς ὡς μενόντων.
Χαῖρε αὐχμοὺς καὶ λοιμοὺς διαλύσας,
Χαῖρε πολλοὺς τῆς πείνης διασώσας.
Χαῖρε ποιμὴν Ὁμαλῶν Μονῆς, ἄγρυπνε,
Χαῖρε φρουρέ, ἰατρὲ πολλῶν ἄμισθε.
Χαῖρε ὅτι σοῦ τὸ λείψανον βρύει μῦρα δαψιλῶς,
Χαῖρε ὅτι σοῦ τὸ τέμενος νέμει χάριν πολλαπλῶς,
Χαῖρε δι' οὗ θεραπεύονται νόσοι,
Χαῖρε δι' οὗ ἐκδιώκονται πάθη.
Χαῖρε Πάτερ Γεράσιμε.

Ὦ Τρισόλβιε Πάτερ ὁ τῆς Νήσου προστάτης καὶ πάντων ἀκαταίσχυντος πρέσβυς, ἐφυμνίους ᾠδὰς παρ' ἡμῶν, σῶν ἱκετῶν πρόσδεξαι καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως, πρεσβείαις σου Θεῷ, ᾧ κράζομεν πάντες.

**Ἀλληλούϊα.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Οἱ τῇ χάριτι τοῦ Ἁγίου Γερασίμου ἰαθέντες δι' ἐξαισίου θαύματος ἐν τῇ λιτανείᾳ τῆς πανηγύρεως τῆς 26 Ὀκτωβρίου 1936 περικυκλοῦντες τὸν Σεβ. Μητροπολίτην ἐπὶ τῶν βαθμίδων τοῦ Προνάου τοῦ Μεγάλου Ναοῦ τῆς Ἱερᾶς Μονῆς

# ΠΑΡΑΡΤΗΜΑ

# ΤΑ ΘΑΥΜΑΤΑ ΤΟΥ ΑΓΙΟΥ

«Θαυμαστὸς ὁ Θεὸς
ἐν τοῖς Ἁγίοις Αὐτοῦ»
(Ψαλμ. ΞΖ΄. 36)

Ὁ Πανάγαθος καὶ Φιλάνθρωπος Θεὸς ἡμῶν, οὐ μόνον ἀπ' εὐθείας ποιεῖ πάντοτε ἐξαίσια θαύματα ὑπὲρ τοὺς φυσικοὺς νόμους, ἀλλὰ καὶ εἰς τοὺς Ἁγίους αὐτοῦ ἄνδρας τοὺς θερμὴν καὶ ἀληθῆ πίστιν ἔχοντας ἔδωκεν ἐξουσίαν, ἵνα καὶ οὗτοι ποιῶσι θαύματα χάριν τῶν ἀνθρώπων, θεραπεύοντες νόσους καὶ ἀσθενείας ποικίλας πρὸς δόξαν τοῦ ὀνόματος Αὐτοῦ.

Αὐτὸς ὁ Σωτὴρ ἡμῶν διὰ τῆς Θείας Αὐτοῦ παντοδυναμίας ἐθεράπευε κατὰ τὸν ἐπὶ γῆς βίον αὐτοῦ τοὺς ὑπὸ ποικίλων νόσων κατεχομένους καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένους. Τὴν ἐξουσίαν ταύτην ἔδωκεν ὁ Κύριος καὶ εἰς τοὺς Μαθητὰς αὐτοῦ καὶ Ἀποστόλους, ὡς ὁ Θεόπνευστος Εὐαγγελιστὴς Ματθαῖος ἱστορεῖ γράφων· «Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν» (Ματθ. Ι΄ 1).

Τὴν αὐτὴν ἐξουσίαν ἔδωκε καὶ εἰς τοὺς ἑβδομήκοντα Μαθητάς, ὅτε οὗτοι «ὑπέστρεψαν μετὰ χαρᾶς μεγάλης λέγοντες· Κύριε καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου», καὶ εἶπεν αὐτοῖς· «Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ» (Λουκ. Ι΄ 17, 19).

Ἀλλὰ καὶ εἰς πάντας τοὺς ἀληθῶς πιστεύοντας καὶ πλήρη πρὸς τὸν Θεὸν ἔχοντας πίστιν ἔδωκεν ὡσαύτως ὁ Σωτὴρ ἡμῶν τοιαύτην ἐξουσίαν δι' αὐτοῦ τοῦ ἰδίου ἁγίου αὐτοῦ στόματος, εἰπὼν ῥητῶς: «ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει» (Ἰωάν. ΙΔ΄, 12).

Εὐνόητον ὅθεν ἀποβαίνει ὅτι οἱ Ἅγιοι πάντες διὰ τῆς πί-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

στεως αὐτῶν καὶ διὰ τῆς δοθείσης αὐτοῖς παρὰ τοῦ Κυρίου ἐξουσίας ποιοῦσι πάντοτε ἐξαίσια θαύματα εἰς δόξαν καὶ αἶνον τοῦ Παντοδυνάμου Θεοῦ, τῇ δυνάμει τοῦ ὁποίου καὶ τελοῦνται τὰ θαύματα.

Διὰ τοῦτο καὶ ὁ Ὅσιος καὶ Θεοφόρος Πατὴρ ἡμῶν Γεράσιμος, πίστιν θερμὴν καθ' ἅπαντα τὸν βίον αὐτοῦ ἐπιδειξάμενος καὶ ἀγῶνας καὶ παλαίσματα κατὰ τοῦ πονηροῦ δαίμονος ἐπιτελέσας δι' αὐστηρᾶς ἀσκήσεως, ἔλαβε καὶ οὗτος τὴν χάριν τοῦ τελεῖν ἐξαίσια θαύματα καὶ θεραπεύειν τοὺς ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλουμένους.

Τοιαῦτα θαύματα καὶ ἔτι ζῶν, ἀλλ' ἰδίως μετὰ τὴν ἁγίαν αὐτοῦ κοίμησιν ἐτέλεσεν ἄπειρα.

Τὰ θαύματα τοῦ Ἁγίου μας δυνάμεθα νὰ τὰ διακρίνωμεν εἰς τρεῖς τάξεις.

**Πρῶτον.** Θαύματα τὰ ὁποῖα γνωρίζουσι μόνον οἱ εὐεργετηθέντες δι' αὐτῶν, ἅτινα εἶναι ἀναρίθμητα.

**Δεύτερον.** Θαύματα τὰ ὁποῖα γνωρίζουσι καὶ ὀλίγοι ἄνθρωποι, εἴτε διότι τὰ εἶδον ἢ τὰ ἤκουσαν, εἴτε διότι ἐννοοῦνται καὶ ἀποδεικνύονται ἐκ τῶν ἀφιερωμάτων τῶν προσφερομένων εἰς τον Ἅγιον, ἅτινα ὡσαύτως εἶναι πάμπολλα.

**Τρίτον.** Θαύματα τὰ ὁποῖα λόγῳ τῆς σπουδαιότητος καὶ σοβαρότητος αὐτῶν ἀνεγράφησαν εἰς προγενεστέρας βιογραφίας τοῦ Ἁγίου καὶ γνωρίζουσι ταῦτα ὅλοι οἱ ἄνθρωποι.

Ἡμεῖς ἐνταῦθα θὰ ἀναγράψωμεν ἐν πίναξι τὰ ἐκ τῶν προγενεστέρων βιογραφιῶν μεγάλα θαύματα καὶ τὰ σπουδαιότερα ἐκ τῶν τελεσθέντων ἐπὶ τῶν ἡμερῶν ἡμῶν.

Πρῶτα τοιαῦτα θαύματα εἶναι τὰ ἀναφερόμενα εἰς τὴν ἔκθεσιν τοῦ βίου τοῦ Ἁγίου τὴν ὑποβληθεῖσαν πρὸς τὸ Οἰκουμενικὸν Πατριαρχεῖον Κωνσταντινουπόλεως μετὰ τῆς Ἐπιστολῆς τοῦ Ἐπισκόπου Μαΐνης Ἱερεμίου (βλέπε ἐν τῇ παρούσῃ ἐκδόσει σελ. 9).

Ἕτερα τοιαῦτα εἶναι τὰ ἀναφερόμενα εἰς διαφόρους ἐκδόσεις τῆς βιογραφίας τοῦ Ἁγίου καὶ δὴ τὴν τοῦ 1830 ἐν Βενετίᾳ. Ταῦτα ὑποδιαιροῦνται εἰς δύο, εἰς ὅσα ἐκ τῆς προγενεστέρας παραδόσεως ἦσαν γνωστά, καὶ ὅσα ὡς ἀναφέρει ἡ προρρηθεῖσα βιογραφία «εἴδομεν καὶ παρελάβομεν ἀπὸ ἀνθρώπους ἀξιοπίστους καὶ τὰ ὁποῖα συνέβησαν εἰς τοὺς καιρούς μας» (σελ. 87). Ἕτερα τοιαῦτα εἶναι τὰ ἐν τῇ βιογραφίᾳ τοῦ Ἁγίου



τῇ ἐκδοθείσῃ ὑπὸ τοῦ ἀειμνήστου Προκατόχου ἡμῶν Μητροπολίτου Κεφαλληνίας Κυροῦ Δαμασκηνοῦ, ἐπιμελείᾳ δὲ τοῦ αἰδεσ. Οἰκονόμου Γερασίμου Ποταμιάνου ἐν ἔτει 1925 καὶ 1932.

Καὶ τέλος τὰ ἀπὸ τῆς ἐγκαθιδρύσεως ἡμῶν ἐν τῇ Μητροπόλει Κεφαλληνίας μέχρι τοῦ τέλους τοῦ παρελθόντος ἔτους (1934 - 1938) τελεσθέντα, ἅτινα κατεγράφησαν ἐντολῇ καὶ καθοδηγήσει ἡμῶν ὑπὸ τοῦ ἐφημερίου τῆς Ἱ. Μονῆς Σπυρίδωνος Λιναρδάτου ἐν ἰδιαιτέρῳ βιβλίῳ τηρουμένῳ ὑπ' αὐτοῦ, ἐν τῷ ὁποίῳ ἀναφέρονται τὰ ὀνόματα τῶν ἰαθέντων, ἡ πατρίς, ἡ ἡλικία, τὸ γένος, ἡ νόσος, ἡ διάρκεια καὶ ἡ θεραπεία αὐτῆς μετὰ τῶν σχετικῶν λεπτομερειῶν, ὧν δύναται πᾶς προσκυνητὴς τῆς Μονῆς νὰ λάβῃ γνῶσιν.

Ἐνταῦθα χάριν συντομίας καὶ πρὸς πληροφορίαν τῶν χριστιανῶν ἀναγράφομεν ἐν πίναξι τὰ σπουδαιότερα τῶν θαυμάτων καὶ κατὰ τὴν ἀνωτέρω καθορισθεῖσαν τάξιν.

## ΤΑ ΣΠΟΥΔΑΙΟΤΕΡΑ ΕΚ ΤΩΝ ΘΑΥΜΑΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΓΕΡΑΣΙΜΟΥ

### ΠΙΝΑΞ Α΄.

**Τὰ ἐν τῇ βιογραφίᾳ τῆς ἐκδόσεως τοῦ 1830 ἀναφερόμενα**

α΄) Τὰ ἐκ παραδόσεως:

| | | |
|---|---|---|
| Βροχὴ ἐν τῇ ἀνομβρίᾳ (βλέπε ἔκδοσιν 1830) | σελ. | 71 |
| Θεραπεία δαιμονιζομένης καὶ σωτηρία αὐτῆς ἐκ τοῦ φρέατος | » | 80 |
| Σωτηρία ἐκ τῆς χολέρας τῷ 1760 | » | 82 |
| Μετακίνησις Ἱερᾶς Εἰκόνος | » | 83 |
| Ἐνύπνιον Ἀκακίας | » | 84 |
| Ἐνύπνιον συζύγου Ι. Παγουλάτου | » | 85 |

β΄) Τὰ «ὅσα εἴδομεν καὶ ἐπαρελάβαμεν ἀπὸ ἀνθρώπους ἀξιοπίστους καὶ τὰ ὁποῖα συνέβησαν εἰς τοὺς καιρούς μας» (ἐκδόσ. 1830 σελ. 87):

| | | |
|---|---|---|
| Ἐν ἔτει 1780 θεραπεία Νεοφύτου ἱεροδιακόνου ἐκ Καλαβρύτων | σελ. | 87 |
| Ἐν ἔτει 1780 θεραπεία Γεωργίου ἐκ Κατούνας δαιμονιζομένου | » | 89 |
| Ἐν ἔτει 1785 θεραπεία Σωσάνης ἐκ Κατοχῆς | » | 92 |

'Εν ἔτει 1786 θεραπεία Μαρίας ἀπὸ Λεχαινὰ δαιμον. σελ. 94
'Εν ἔτει 1788 θεραπεία Αἰκατερίνης ἀπὸ 'Αγίαν Μαύραν ἐξ ἀσθενείας ...................... » 95
'Εν ἔτει 1790 θεραπεία Γιαννούλας ἀπὸ Μαγουλᾶ τυφλῆς ...................................... » 96
'Εν ἔτει 1793 θεραπεία Ἰωάννου ἀπὸ Λεχαινὰ σεληνιαζομένου ...................................... » 98
'Εν ἔτει 1793 θεραπεία Σουλτάνας ἐκ Μεσολογγίου δαιμονιζομένης ...................................... » 99
'Εν ἔτει 1796 θεραπεία Ἰουλιανῆς ἐκ Βαλσαμάτων δαιμονιζομένης ...................................... » 99
'Εν ἔτει 1807 Μανουὴλ Πελοποννησίου σωτηρία ἐκ τρικυμίας ...................................... » 100


ΠΙΝΑΞ Β'.

**Τὰ ἐν τῇ ἐκδόσει 1925 καὶ 1932 ἀναφερόμενα**


Τῇ 20 8/βρίου 1901 Θεραπεία τῆς 'Αγγελικῆς Λ. ἐκ Φαρακλάτων καὶ Τιτίκας Π. ἐκ Βαλεριάνου.... σελ. 30
Τῷ 1906 Θεραπεία τῆς Μαρίας Κ. ἐκ Κατοχῆς..... » 31
» » » Ἰουλιανῆς Κ. ἐκ Μεσολογγίου.. » 31
Τῷ 1910 » Βασιλικῆς Χ. ἐκ Πατρῶν....... » 31
Τῷ 1912 » Γεωργίου ἐκ Κρήτης........... » 31
» » » Ὄλγας Μ. ἐκ Πατρῶν........ » 32
» » » Μαγδαλινῆς ἐκ Μεσολογγίου.. » 32
Τῷ 1919 » Εὐθαλίας Κ. ἐκ Δειληνάτων.... » 33
Τῷ 1921 » Νικολάου Φ. ἐξ 'Ανδραβίδας... » 34
Τῇ 12 Ἰουλ. 1921 Θεραπεία Εὐτυχίας Π. ἀπὸ Θηράμονα » 35
Τὸν Ἰαν. 1921 Θεραπεία 'Αγγελικῆς Β. ἐκ Πατρῶν. » 35
Τῷ 1922 » Οὐρανίας Κ. » » . » 35
» » » Πηνελόπης ἐξ Ἰθάκης..... » 35
» » » 'Ανδρέου Μ. ἐκ Κρεστένων » 35
» » » Γεωργίου ἐκ Τριπόλεως... » 35
» » » Φαίδρας Μ. ἐξ 'Αμαλιάδος » 36
» » » Ἰωάννου ἐκ Πατρῶν..... » 36
Τῷ 1923 » 'Ελένης Σ. ἐκ Καραβάδου. » 36
» » » 'Ελπινίκης Β. ἐκ Ραζάτων. » 36
Τῇ 15 Αὐγ. 1924 » Ἄννης Δ. ἀπὸ Βαρὺ..... » 37
» » » » » Μυράνθης Φ. ἐκ Τσακαρισ. » 37




ΠΙΝΑΞ Γ'.

**Τὰ ἐν τῷ καταρτισθέντι εἰδικῷ βιβλίῳ τῆς Μονῆς ἀναγραφόμενα.**

Ἔτος 1934

| | | | | | |
|---|---|---|---|---|---|
| Χρίστος Σ. ἐξ Αἰγίου | ἐτῶν | 24 | ἐθεραπεύθη | τῇ | 7 Μαΐου |
| Βασιλικὴ Σ. ἐκ Πατρῶν | » | 18 | » | » | 21 Ν)βρίου |
| Γεώργιος Θ. ἐξ 'Αντιπάτων | » | 17 | » | » | 16 Αὐγούστ. |
| Ζήσιμος Γ. ἐκ Ναματ. Κοζ. | » | 36 | » | » | 16 » |
| Γεώργιος Γ. ἐκ Χανίων | » | 45 | » | » | 23 » |
| Μαρία Σ. ἐκ Τρωϊανάτων | » | 24 | » | » | 23 » |
| Εὐφροσύνη Ν. ἐκ Νεοχωρίου | » | 22 | » | » | 23 » |
| Χρίστος Α. » » | » | 6 | » | » | 23 » |
| Αἰκατερίνη Γ. » Βαλσαμάτ. | » | 22 | » | » | 2 8)βρίου |
| Διονυσία Δ. ἐκ Τρωϊανάτων | » | 30 | » | » | 4 » |
| Λεωνίδας Ν. ἐκ Βονίτσης | » | 32 | » | » | 20 » |
| Ἰωάννης Β. ἐκ Τριπόλεως | » | 39 | » | » | 20 » |
| Λεωνίδας Κ. ἐκ Μπηλεσιᾶς | » | 65 | » | » | 26 » |
| Παναγιώτης Τ. ἐξ 'Αγρινίου | » | 28 | » | » | 26 » |

Ἔτος 1935

| | | | | | |
|---|---|---|---|---|---|
| Νικολίτσα Λ. ἐκ Πατρῶν | ἐτῶν | 14 | ἐθεραπεύθη | τῇ | 6 Ἰαν. |
| Διονύσιος Π. ἐκ Σβορωνάτων | » | 25 | » | » | 2 Φεβρ. |
| Γεράσιμος Κ. ἐκ Σάμης | » | 30 | » | » | 2 » |
| Καλλιόπη Κ. ἀπὸ Βαρθολομιὸ | » | 22 | » | » | 7 Μαΐου |
| Βασιλικὴ Α. ἐκ Πατρῶν | » | 40 | » | » | 10 » |
| Χρυσάνθη Τ. » » | » | 27 | » | » | 10 » |
| Μαρία Π. ἐξ 'Αθέρος | » | 50 | » | » | 10 » |
| Γαρουφαλιᾶ Δ. ἐκ Τρωϊανάτ. | » | 14 | » | » | 29 Ἰουν. |
| Μαρία Β. ἐκ Χιονάτων | » | 30 | » | » | 15 Αὐγ. |
| Βασιλικὴ Δ. ἐξ Αἰτωλικοῦ | » | 23 | » | » | 16 » |
| Καλλιόπη Τ. ἐκ Πατρῶν | » | 24 | » | » | 16 » |
| Εὐαγγελία Β. ἐξ 'Αθηνῶν | » | 22 | » | » | 16 » |
| Ναυσικᾶ Β. ἐκ Πυλάρου | » | 23 | » | » | 23 » |
| Μαρία Α. ἐξ 'Αργοστολίου | » | 19 | » | » | 20 8)βρίου |
| 'Ακριβὴ Β. ἐκ Λευκάδος | » | 13 | » | » | 20 » |
| Λευκοθέα Π. ἐκ Πρεβέζης | » | 24 | » | » | 12 Δ)βρίου |
| Νικόλαος Κ. ἐκ Μακρυωτίκων | » | | » | » | 25 » |

Ἔτος 1936

| | | | | | |
|---|---|---|---|---|---|
| Γεράσιμος Π. ἐκ Βαλσαμάτ. | ἐτῶν | 24 | ἐθεραπεύθη | τῇ | 20 'Απριλ. |
| Σπυριδούλα Σ. ἀπὸ Σπαθὴ Κεφ. | » | 17 | » | » | 16 Αὐγ. |

| | | | | |
|---|---|---|---|---|
| Στάμω Δ. ἐκ Τρωϊανάτων | ἐτῶν 16 | ἐθεραπεύθη | τῇ | 16 Αὐγ. |
| Ἰωάννα Μ. ἐκ Μινετάτων | » 18 | » | » | 16 » |
| Ὄλγα Κ. ἐξ Ἐπανωχωρίου | » 20 | » | » | 16 » |
| Καλλιρρόη Γ. ἐξ Αἰτωλικοῦ | » 15 | » | » | 16 » |
| Ρουλία Α. ἐκ Φαρακλάτων | » 18 | » | » | 16 » |
| Δημήτριος Π. ἐκ Ληξουρίου | » 25 | » | » | 16 » |
| Εἰρήνη Ζ. ἐκ Θηναίας | » 16 | » | » | 16 » |
| Δημήτριος Μ. ἐκ Μινετάτων | » 25 | » | » | 16 » |
| Αἰκατερίνη Μ. ἐκ » | » 17 | » | » | 16 » |
| Ἀνδρέας Φ. ἐκ Γριζάτων | » 18 | » | » | 16 » |
| Μαρία Ἀ. ἐκ Δαμουλιανάτων | » 22 | » | » | 16 » |
| Αἰκατερίνη Μ. ἐκ Φαρακλάτων | » 30 | » | » | 16 » |
| Παναγιώτα Σ. ἐκ Πατρῶν | » 20 | » | » | 16 » |
| Κωνσταντῖνος Σ. ἐκ Παξῶν | » 38 | » | » | 16 » |
| Μαρία Λ. ἐκ Πατρῶν | » 25 | » | » | 16 » |
| Δημήτριος Κ. ἐκ Πατρῶν | » 20 | » | » | 20 Ὀκτ. |
| Οὐρανία Μ. ἐκ Μεσολογγίου | » 20 | » | » | 21 » |
| Νικόλαος Κ. | » 17 | » | » | 26 » |

Ἔτος 1937

| | | | | |
|---|---|---|---|---|
| Δημήτριος Ρ. ἐξ Αἰτωλικοῦ | ἐτῶν 13 | ἐθεραπεύθη | τῇ | 6 Ἰαν. |
| Ἀγγελικὴ Β. ἐκ Ρίζης | » 22 | » | » | 2 Φεβρ. |
| Γερασιμούλα Θ. ἐκ Κομητάτων | » 19 | » | » | 6 Ἰαν. |
| Ἄννα Ε. » | » 22 | » | » | 7 Μαΐου |
| Ἀριστόβουλος Π. ἐκ Πατρῶν | » 16 | » | » | 7 » |
| Εὐφροσύνη Π. ἐξ Ἀθηνῶν | » 23 | » | » | 6 Αὐγ. |
| Αἰκατερίνη Κ. ἐκ Κομητάτων | » 24 | » | » | 16 » |
| Ἑλλὰς Κ. ἐξ Ἀργοστολίου | » 15 | » | » | 16 » |
| Φωτεινὴ Α. ἐξ Ἰθάκης | » 20 | » | » | 16 » |
| Ὄλγα Κ. ἐκ Κομητάτων | » 29 | » | » | 20 Ὀκτ. |
| Μαρία Α. ἐκ Τρωϊανάτων | » 27 | » | » | 20 » |
| Ἄγγελος Α. ἐκ Ληξουρίου | » 38 | » | » | 26 » |
| Εὐανθία Ξ. ἐκ Πατρῶν | » 26 | » | » | 26 » |

Ἔτος 1938

| | | | | |
|---|---|---|---|---|
| Ὄλγα Β. ἐκ Σώστου Ἠλ. | ἐτῶν 22 | ἐθεραπεύθη | τῇ | 6 Ἰαν. |
| Ἑλένη Β. ἐξ Αἰτωλικοῦ | » 19 | » | » | 6 » |
| Μαρία Γ. ἐκ Πατρῶν | » 19 | » | » | 2 Ἀπριλ. |
| Κωνσταντίνα Λ. ἐκ Πατρῶν | » 22 | » | » | 9 » |
| Οὐρανία Ε. » » | » 35 | » | » | 9 » |
| Διαλεκτὴ Κ. ἐκ Μεσολογγίου | » 34 | » | » | 16 Αὐγ. |
| Ἀνδρέας Μ. ἐκ Κατοχῆς | » 20 | » | » | 16 » |
| Μαρία Γ. ἐκ Καλάμου | » 32 | » | » | 16 » |
| Ἀθανάσιος Χ. ἐξ Ἀργοστολ. | » 17 | » | » | 19 » |

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Καὶ ταῦτα μὲν εἶναι τὰ συντελεσθέντα διὰ τῆς χάριτος καὶ δυνάμεως τοῦ Θαυμαστοῦ ἐν τοῖς Ἁγίοις Αὐτοῦ Μεγάλου Θεοῦ ἡμῶν διὰ πρεσβειῶν καὶ μεσιτείαις τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου.

Διὰ νὰ ἐννοήσῃ δὲ πᾶς τις καὶ τὸν τρόπον καθ' ὃν συντελοῦνται ἐν τῇ Ἱερᾷ Μονῇ τὰ ἐξαίσια ταῦτα θαύματα, ἀναφέρομεν ἐν συντομίᾳ τὸν τρόπον καθ' ὃν ἐπῆλθεν ἡ θεραπεία κατὰ τὰς λιτανείας τῆς 16 Αὐγούστου καὶ 26 Ὀκτωβρίου 1936 τῶν ἰαθέντων ἀσθενῶν.

Ὡς συνήθως οἱ πάσχοντες ἐκ διαφόρων νοσημάτων καὶ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλούμενοι προσέρχονται εἰς τὴν Ἱ. Μονὴν καὶ παραμένουσιν ἐν αὐτῇ εἰς τὸν ἐπὶ τούτῳ δαπάναις τῆς Μονῆς κατασκευασθέντα ἀπὸ τοῦ 1935 νέον Ξενῶνα, χωρὶς ἐννοεῖται νὰ ὑποχρεοῦνται εἰς οἱανδήποτε πληρωμήν, ἀντιθέτως μάλιστα τυγχάνοντες πάσης προστασίας καὶ ἐνισχύσεως εἰς κλίνην, κλινοσκεπάσματα καὶ τροφὴν ἐνίοτε οἱ μᾶλλον ἄποροι ὑπὸ τῆς Μονῆς. Οἱ ἀσθενεῖς παρακολουθοῦνται ὑπό τινος τῶν γονέων ἢ συγγενῶν αὐτῶν, οἵτινες τελοῦντες Λειτουργίας καὶ Παρακλήσεις ἐν τῇ Ἱ. Μονῇ καὶ διάγοντες ἐν νηστείᾳ κατὰ τὸ πλεῖστον καὶ προσευχῇ, ἐπικαλοῦνται διαρκῶς καὶ ἀναμένουσιν ὡς οἱ ἐν Κολυμβήθρᾳ τοῦ Σιλωάμ (Ἰωάν. Θ'. 7) τὴν διὰ τῆς Χάριτος τοῦ Ἁγίου ἴασιν αὐτῶν, μηδεμίαν ἄλλην ἀκολουθοῦντες ἢ ἐκτελοῦντες θεραπείαν.

Κατὰ τὰς Ἱερὰς Λειτουργίας τοῦ Ναοῦ ὑποπίπτουσιν ὑπὸ τὸ Ἱερὸν Εὐαγγέλιον κατὰ τὴν ἀνάγνωσιν αὐτοῦ καὶ ὑπὸ τὰ Τίμια Δῶρα κατὰ τὴν Μεγάλην Εἴσοδον. Παραμένουσιν οὕτω διάγοντες ἐν τῇ Μονῇ ἐπὶ πολλὰς ἡμέρας τελοῦντες Τεσσαρακονταλείτουργα ἢ καὶ ἐπὶ μῆνας, τινὲς δὲ καὶ ἐπὶ ἔτη.

Οἱ πλεῖστοι ἐξ αὐτῶν εἶναι οἱ ὑπὸ πνευμάτων ἀκαθάρτων ὀχλούμενοι. Τινὲς εἶναι πολὺ φοβεροὶ καὶ «χαλεποὶ λίαν» κατὰ τὴν ἔκφρασιν τοῦ Εὐαγγελιστοῦ (Ματθ. Η'. 28), ἀλλὰ καὶ ἐπικίνδυνοι. Φωνάζουσιν ὅλην τὴν ἡμέραν εἰς τὰ προαύλια τῆς Μονῆς καὶ ἐντὸς πολλάκις τοῦ Ναοῦ κατὰ τὴν Θείαν Λειτουργίαν. Ὑβρίζουσι πάντας καὶ ἱερὰ καὶ ὅσια. Βωμολοχοῦσιν ἐνίοτε καὶ αἰσχρολογοῦσι. Βλασφημοῦσι τὸν Θεὸν καὶ πάντας τοὺς Ἁγίους. Συνηθέστατα ὅμως ὑβρίζουσι ποικιλοτρόπως καὶ δι' ἀκατονομάστων ὕβρεων τὸν Ἅγιον Γεράσιμον, ὃν οἱ πλεῖστοι ὀνομάζουσι «Καψάλην». Παραπονοῦνται

κατ' αὐτοῦ ὅτι τοὺς βασανίζει καὶ ζητοῦσι διὰ φωνῶν καὶ ὕβρεων νὰ ἀπαλλαγῶσι τῆς ἀναμνήσεως καὶ παρουσίας αὐτοῦ.

Ἡ τοιαύτη τῶν ἀσθενῶν συμπεριφορὰ εἶναι γνωστοτάτη εἰς τοὺς ἐν τῇ Μονῇ ἀπὸ τὰς καθημερινὰς σχετικὰς σκηνάς, ἀλλὰ καὶ εἰς πάντα ἐπισκέπτην τῆς Μονῆς. Πολλοὶ μάλιστα τῶν προσκυνητῶν καταλαμβάνονται ὑπὸ φόβου μεγάλου καὶ συγκλονιστικῆς μέχρι λιποθυμίας ταραχῆς ἐπὶ τῇ θέᾳ τοιούτων ἀσθενῶν, εἴτε ἐκ φόβου, εἴτε ἐκ συγκινήσεως καὶ συμπαθείας.

Τὸ ἀποκορύφωμα ὅμως τῶν φωνῶν καὶ ὕβρεων καὶ ταραχῶν τῶν ἀσθενῶν εἶναι αἱ ἡμέραι τῶν μεγάλων πανηγύρεων τῆς Μονῆς καὶ ἐξαιρέτως ἡ στιγμὴ τῆς λιτανεύσεως τοῦ Ἱεροῦ Λειψάνου.

Τότε ἅπαντες οἱ ἀσθενεῖς ἐκτείνονται ἐπανειλημμένως εἰς ἑκάστην λιτανείαν ὑπὸ τῶν οἰκείων αὐτῶν ἐπὶ τοῦ ἐδάφους κατὰ σειρὰν εἰς τὸν δρόμον τῆς λιτανείας πληροῦντες μεγάλην ἔκτασιν τῆς διαδρομῆς, ἵνα ἄνωθεν αὐτῶν διέλθῃ τὸ Ἱερὸν Λείψανον. Τοὺς φοβερωτέρους ἐξ αὐτῶν συγκρατοῦσι μετὰ μεγάλου κόπου δύο καὶ τρεῖς καὶ τέσσαρες συγγενεῖς. Κοράσια 15—18 ἐτῶν ταράσσονται κατὰ τοιοῦτον φοβερὸν τρόπον, ὥστε ἀνατρέπουσιν ἄνδρας δυνατούς, οἱ ὁποῖοι ἀγωνίζονται καὶ περιλούονται ἀπὸ ἱδρῶτα διὰ νὰ συγκρατήσωσι ταῦτα ἐπὶ τοῦ ἐδάφους. Ἀφρίζουσι κυριολεκτικῶς πολλοὶ καὶ τρίζουσι δαιμονιωδῶς τοὺς ὀδόντας καὶ τὸ τρίξιμον αὐτὸ ἀκούεται εἰς μεγάλην σχετικῶς ἀπόστασιν, μεταδίδον τὴν φρίκην καὶ τὴν ταραχὴν εἰς τὰς χιλιάδας τῶν προσκυνητῶν.

Εἰς τοιαύτην κατάστασιν ἦσαν καὶ οἱ κατὰ τὰς λιτανείας τοῦ Ἱεροῦ Λειψάνου τῆς 16 Αὐγούστου καὶ 26 Ὀκτωβρίου 1936 ἀσθενεῖς, οἱ μεθ' ἡμῶν ἐν τῇ δημοσιευομένῃ εἰκόνι περιλαμβανόμενοι καὶ ἰδίως ὁ πρῶτος καὶ ὁ δεύτερος ἐξ ἀριστερῶν, ἀλλὰ καὶ ὁ μικρὸς αὐτὸς μετ' αὐτούς.

Ἀλλ' ὢ τῶν μεγάλων καὶ θαυμασίων τοῦ Θαυμαστοῦ ἐν τοῖς Ἁγίοις Αὐτοῦ Θεοῦ!

Ἐν ᾧ κατὰ τὴν πρώτην καὶ δευτέραν διέλευσιν τοῦ Ἱεροῦ Λειψάνου ἄνωθεν αὐτῶν, ἡ ταραχὴ καὶ αἱ φωναὶ τῶν ἀσθενῶν τούτων εἶχον φθάσει εἰς τὸ κατακόρυφον, μετὰ τὴν τρίτην διέλευσιν εὐθὺς κατεπραΰνθησαν ἀποτόμως καὶ μετ' ὀλίγον τινὲς αὐτῶν ἔμειναν ἐν ἀκινησίᾳ σχεδὸν ὡς νεκροί. Ἐπανελήφθη καὶ ἐδῶ τὸ τοῦ δαιμονιζομένου τοῦ Εὐαγγελίου «Καὶ κράξαν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



καὶ πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθε καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν» (Μάρκ. Θ'. 26).

Καὶ ἠγέρθησαν μετ' ὀλίγον καὶ ἐγένοντο ἐντελῶς ὑγιεῖς, ὥστε νὰ δύνανται ἐν ἄκρᾳ σωφροσύνῃ ἱματισμένοι καὶ σωφρονοῦντες (πρβλ. Λουκ. Η'. 25) νὰ ἵστανται ἀκίνητοι πρὸ τοῦ φωτογραφικοῦ φακοῦ, ὅστις ἐκρίθη καλὸν νὰ συγγράψῃ ἐν μιᾷ στιγμῇ (τῆς 26 Ὀκτωβρίου 1936) τὸ ἱστορικὸν τοῦτο γεγονὸς πρὸς πληροφορίαν πάντων καὶ πιστοποίησιν περισσοτέραν.

Ἀλλὰ πῶς δικαιολογοῦνται καὶ πῶς ἑρμηνεύονται ταῦτα;

Διὰ τὸν ἀληθῆ χριστιανὸν ἁπλούστατα καὶ εὐκολώτατα. «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας» (Ἑβρ. ΙΓ'. 8). Αὐτὸς διὰ τοῦ ἀψευδοῦς στόματος αὐτοῦ ἐβεβαίωσεν εἰπὼν (ὡς καὶ ἀνωτέρω ἀνεφέραμεν καὶ ἐνταῦθα ἐπαναλαμβάνομεν) «ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ κακεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει (Ἰωάν. ΙΔ'. 12)». Ὁ ἔχων ὦτα λοιπὸν ἀκούειν ἀκουέτω» (Ματθ. ΙΑ' 15.) καὶ ὁ ἔχων πίστιν εἰς τὸν Χριστὸν βλεπέτω τὰ θαυμάσια διὰ τῆς Χάριτος Αὐτοῦ καὶ πρὸς δόξαν τοῦ ὀνόματος αὐτοῦ τελούμενα ὑπὸ τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Γερασίμου.

Καὶ εἶναι χιλιάδες οἱ εὐσεβεῖς χριστιανοὶ οἱ βλέποντες ταῦτα καὶ πιστεύοντες καὶ οἱ κατ' ἔτος ἐν τῇ Ἱ. Μονῇ τοῦ Ἁγίου συρρέοντες, οἵτινες βεβαιούμενοι ἰδίοις ὀφθαλμοῖς στερεοῦνται ἐν τῇ πίστει καὶ δοξάζουσι τὸν Θεὸν «τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις» (Ματθ. Θ'. 8) καὶ γεραίρουσιν καὶ ἐγκωμιάζουσι τὸν Ἅγιον ὄντως καὶ Θεοφόρον Γεράσιμον τὸν τοιαύτην παρὰ Θεῷ παρρησίαν κεκτημένον.

Ἱκανὰ θεωροῦντες τὰ ὀλίγα ταῦτα πρὸς πληροφορίαν καὶ διδασκαλίαν τῶν χριστιανῶν περὶ τῶν θαυμασίων τοῦ Ἁγίου μας, ἐπικαλούμεθα τὴν προστασίαν καὶ τὰς εὐλογίας αὐτοῦ ἐπὶ πάντας τοὺς εὐλαβεῖς προσκυνητὰς τῆς Ἱ. Μονῆς Αὐτοῦ, πάντας ἐν γένει τοὺς τιμῶντας τὴν μνήμην αὐτοῦ χριστιανοὺς καὶ πάντα ἀναγιγνώσκοντα τὰς ὀλίγας γραμμὰς ταύτας.

Ἐν Ἀργοστολίῳ τῇ 11 Ἰουλίου 1939.

Εὐχέτης θερμὸς

† Ὁ Κεφαλληνίας **ΓΕΡΜΑΝΟΣ**

## ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ


| | | |
|---|---|---|
| Μεσημβρινὴ ἄποψις τῆς Ἱερᾶς Μονῆς | σελ. | 3 |
| Πρόλογος | » | 5 |
| Ἐπιστολὴ Ἱερεμίου | » | 8 |
| Εἰκὼν τοῦ Ἁγίου Γερασίμου | » | 11 |
| Πατριαρχικὸς Τόμος | » | 13 |
| Εἰκὼν Ἱεροῦ Λειψάνου | » | 17 |
| Ἀκολουθία 16ης Αὐγούστου | » | 19 |
| Ἀκολουθία 20ῆς Ὀκτωβρίου | » | 61 |
| Παρακλητικὸς Κανὼν | » | 105 |
| Ὕμνος Ἐπιτάφιος | » | 116 |
| Οἶκοι εἰκοσιτέσσαρες | » | 127 |
| Εἰκὼν Σεβ. Μητροπολίτου μετὰ ἰαθέντων | » | 135 |
| Τὰ θαύματα τοῦ Ἁγίου | » | 137 |


ΛΑΪΚΗ ΚΑΙ ΙΣΤΟΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΕΑ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ